μοι Κύριος ἐν ὑπακοῇ πατρός μου[19]. 4. *Ἐγὼ *οὖν οὐδέποτε*[20] *παρελύπησα Ἰακὼβ τὸν πατέρα *μου*[21], *ὅτι*[22] *πάντα* **ὅσα μοι ἔλεγεν*[23] *ἐποίουν*[24]. 5. *Καὶ* Ἀβραὰμ[25] *ὁ* πρόπαππός[26] *μου εὐλόγησέ με*[27] *βασιλεύειν ἐν*[28] *Ἰσραήλ*[29], **καὶ Ἰακὼβ εὐλόγησέ με οὕτως*[30]. 6. *Καὶ*[31] *ἐγὼ οἶδα ὅτι ἐξ ἐμοῦ στήσεται* **τὸ βασίλειον*[32].

XVIII. *Καὶ ἔγνωκα[1] *ὅσα** *κακὰ ποιήσετε*[2] *ἐν*[3] ⌜*ταῖς*⌝[4] *ἐσχάταις ἡμέραις*.] 2. *Φυλάξασθε*[5] *οὖν*[6], *τέκνα μου, ἀπὸ τῆς* **πορνείας καὶ τῆς φιλαργυρίας*[7], *καὶ*[8] *ἀκούσατε Ἰούδα τοῦ πατρὸς ὑμῶν*[9].

3. *Ὅτι*[10] *ταῦτα*[11] *ἀφιστᾷ*[12] **τῷ νόμῳ τοῦ*[13] *θεοῦ*,
καὶ τυφλοῖ[14] *τὸ διαβούλιον τῆς ψυχῆς*,

bdef ἐλύπησα (+ τόν *ef*) λόγον Ἰ. τοῦ πατρός. *d*, A Ἰσαάκ. β, A, S[1] πατὴρ τοῦ πατρός. β, A, S[1] ὅτι (β–*bd* om.) καίγε ἀνέγνων ἐν βί-

---

βλοις Ἐνὼχ τοῦ δικαίου.

A[b*d] om. [17] *h*, *g* read βασιλεῖς. [18] *d* read σμικρυνοῦσι. For the passage ἥν ἔδωκέ μοι . . . ἐποίουν, *g* reads πάντα ὅσα εἶπεν ὁ πατὴρ Ἰακὼβ ἐποίουν μὴ λυπήσας αὐτόν. [19] α, A[ab*cd]. β, A[efg], S[1] om. [20] α (save that *h* reads δέ for οὖν). β–*g*, A, S[1] read οὐδέποτε γάρ. [21] α, *a* (save that *a* reads ἐλύπησα), A[b]. *bdef*, S[1] read ἐλύπησα (+τὸν *ef*) λόγον Ἰακὼβ (*d* trs. after μου) τοῦ πατρός μου. A[ab*cdeg] ἐλύπησα Ἰακὼβ τὸν πατέρα μου λόγοις (A[efg] trs. λόγοις before Ἰακώβ). β undoubtedly presents the harder text. If it goes back to the original, then ἐλύπησα τὸν λόγον = המרותי לדבר corrupt (?) for המריתי בדבר = ἠπείθησα τῷ λόγῳ. בדבר also would explain the text of A. [22] *d* reads ἀλλά. [23] *h*. *c* (A ?) reads μοι ὅσα ἔλεγεν, *abef*, A, S[1] ὅσα (+καὶ A) εἶπεν, *d* προέταττέ μοι. [24] *f* reads ἐποίησα. *d* adds διὰ τοῦτο ἐκληρονόμησα τὴν εὐλογίαν Ἀβραάμ. [25] *d*, A read Ἰσαάκ. [26] Em. from προπαππους of *c*. *h* reads προπάτορος, β, A, S[1] πατὴρ (+πατρὸς *e*) τοῦ πατρός. [27] = ברכני, which may be corrupt for בחרני = ἐξελέξατό με. But it is better perhaps to supply λέγων after verb. See i. 6. [28] *c*, *a* om. [29] *g* reads Ἱερουσαλήμ. [30] α (save that *h* adds αὐτός after Ἰακώβ). *aef*, A[ab*cdefg], S[1] read κ. Ἰσαὰκ ὁμοίως ἐπευλόγησέ (εὐλόγ. *f*, S[1]) με (A om.) οὕτως (A[b*cdefg] om.), *d* ὁμοίως καὶ Ἰακὼβ εὐλόγησέ με, *b* κ. Ἰσαὰκ ἐπευλόγησέ με ὁμοίως οὕτως. For last two words in *b*, *g* reads ὁ πατὴρ τοῦ πατρός μου εὐλόγησέν με βασιλεύειν ἐν Ἱερουσαλήμ. [31] α, *b*. *aef*, A read διότι, *dg* διό. S[1] τοσοῦτον γὰρ καί. [32] A[b] = ἡ εὐλογία.

XVIII. [1] α. β, A, S[1] read ὅτι (β–*bd* om.) καίγε (ἐγὼ A) ἀνέγνων (ἔγνων *ef*) ἐν βίβλοις (βίβλῳ *dg*) Ἐνὼχ τοῦ δικαίου. [2] *ae* read κακοποιήσετε. [3] *b* read ἐπ'. [4] α. β, A om. [5] *d* reads φυλάξατε, *g* φυλάσσεσθε. [6] *d* om. [7] *d* reads φιλαργ. καὶ τῆς πορν. *g* om. τῆς before φιλαργ. A[ab] = πορν. καὶ μέθης καὶ φιλαργ. S[2] φιλαργ. καὶ μέθης. [8] *c*, A. *h*, β, S[1] om. *f* adds οὖν after ἀκούσατε. *g* om. with rest of verse. [9] *d* adds καὶ γινώσκετε. [10] *d* adds τὰ δύο πάθη. [11] A[b*d] read φιλαργυρία. [12] *d* reads

καὶ ὑπερηφάνειαν ἐκδιδάσκει[15],
καὶ οὐκ ἀφίει[16] ἄνδρα ἐλεῆσαι[17] τὸν[18] πλησίον αὐτοῦ.
4. Στερίσκει[19] τὴν ψυχὴν αὐτοῦ[20] ἀπὸ πάσης ἀγαθότητος[21],
καὶ[22] *συνέχει αὐτὸν[23] ἐν *πόνοις καὶ μόχθοις[24],
β-g, S¹ καὶ ἀφιστᾷ ὕπνον αὐτοῦ. ⌈Τὸν ὕπνον ἐκδιώκει ἀπ' αὐτοῦ⌉[25],
καὶ[26] καταδαπανᾷ[27] τὰς[28] σάρκας αὐτοῦ.
5. *Θυσίας Θεοῦ ἐμποδίζει[29],
⌈καὶ εὐλογίαν Θεοῦ οὐ μνημονεύει⌉[30].
*Προφήτου λαλοῦντος οὐκ ἀκούει[31],
καὶ λόγους[32] εὐσεβείας[33] προσοχθίζει[34].
6. ⌈*Δυσὶ γὰρ πάθεσιν ἐναντίοις δουλεύει[35],
*καὶ Θεῷ ὑπακοῦσαι[36] οὐ δύναται[37],
ὅτι ἐτύφλωσεν[38] τὴν ψυχὴν αὐτοῦ
καὶ ἐν ἡμέρᾳ ὡς ἐν νυκτὶ πορεύεται⌉.

β, A, S¹ εἴδωλα. XIX. Τέκνα μου, ἡ φιλαργυρία πρὸς[1] εἰδωλολατρείαν[2]

ἀφιστοῦσιν. [13] α. β–d read νόμου. d ἀπὸ νόμου θεοῦ τὸν ἄνθρωπον. A = τῶν νόμων. [14] d reads τυφλοῦσι. [15] d reads ἐκδιδάσκουσι. [16] c, bfg. h reads ἀφείη, a ἀφίησι, d ἀφίουσιν, e αφει. [17] g trs. after αὐτοῦ. [18] A^{b*cdefg} = τούς. [19] d reads ὑστεροῦσι γάρ. e στερεῖ καί. [20] d om. [21] bg read ἀγαθοσύνης. [22] aef om. [23] d reads συνέχουσιν αὐτὸν τὸν ἄνθρωπον. [24] α. β–d read μόχθοις καὶ πόνοις, d πόνῳ καὶ μόχθῳ. [25] α. abef, S¹ read καὶ ἀφιστᾷ ὕπνον (+ἀπ' f) αὐτοῦ, d καὶ ἀφιστῶσι τὸν ὕπνον αὐτοῦ. A om. Here ἀφιστάναι and ἐκδιώκειν appear to be alternative readings of נָדַד. Cf. Gen. xxxi. 40. For still another rendering see Sim. iv. 8. The phrase is found in Sir. xlii. 9 ἡ μέριμνα αὐτῆς ἀφιστᾷ ὕπνον. [26] a om. [27] d reads ἐκδαπανῶσι. [28] α, d. β–d om. [29] α, β–d, S¹ (save that β–d, S¹ prefix καί and g reads Κυρίου). d reads καὶ γὰρ ἡ φιλαργυρία θυσίαν ἐμποδίζει. A = καὶ θυσίας Κυρίου χλευάζει, but խաղ առնէ is corrupt for խափանէ = ἐμποδίζει. [30] α (save that h om. καί and reads μνημονεύεται), aef, S¹ (save that a, S¹ read εὐλογίας). bdg read καὶ εὐλογίας (+θεοῦ d, +Κυρίου g) οὐ μέμνηται. A om. [31] α (save that c reads προφήτῃ λαλοῦντι). β, A, S¹ read καὶ προφήτῃ λαλοῦντι οὐχ ὑπακούει. [32] α, A. β–d, S¹ read λόγῳ, d λόγον. [33] f adds οὐ. [34] d reads ἀποδιωχθεῖν. A = ἀνθίσταται, but ընդդէմ դառնայ is corrupt for ընդդէմ դառնանայ = προσοχθίζει. [35] α, f (save that for δουλεύει καί f reads δουλεύων). ae, S¹ read δυσὶ γὰρ πάθεσιν ἐναντίοις τῶν ἐντολῶν τοῦ θεοῦ δουλεύων. bg read δύο γὰρ πάθη ἐναντία τῶν ἐντολῶν τοῦ θεοῦ (ἐντολῆς θεοῦ ἃ ὁ g) δουλεύων, d δύο γὰρ πάθη ἀνίατα ταῦτα. [36] α, β–b, S¹ (save that β–b, S¹ om. καί, and a reads θεοῦ). b reads θεῷ θεοῦ ὑπακούειν. [37] d adds ὁ τοιοῦτος. [38] α, β–bd. b reads ἐτύφλωσαν, d ἀποτυφλοῦσι.

XIX. [1] d reads ἀπό. [2] α (c gives the form ἠδολολατρείαν). β, A, S¹

ὁδηγεῖ[3], ὅτι[4] ἐν πλάνῃ[5] ἀργυρίου τοὺς μὴ ὄντας θεοὺς[6]
ὀνομάζουσιν, καὶ ποιεῖ *τὸν ἔχοντα[7] αὐτὴν[8] εἰς ἔκστασιν[9]
ἐμπεσεῖν. 2. Διὰ τὸ[10] ἀργύριον[11] ἐγὼ *τέκνα μου ἀπό-
λωλα[12], καὶ[13] εἰ μὴ ἡ[14] μετάνοιά μου[15] ⌜καὶ ἡ ταπείνωσίς
μου[16]⌝, καὶ αἱ[17] εὐχαὶ[18] τοῦ πατρός μου †συνέδραμον[19],
ἄτεκνος εἶχον ἀποθανεῖν. 3. Ἀλλ' ὁ Θεὸς τῶν πατέρων
μου[20] *ἠλέησέ με[21] ὅτι ἐν ἀγνωσίᾳ[22] ⌜τοῦτο⌝[23] ἐποίησα.
4. Ἐτύφλωσε[24] γάρ[25] με ὁ ἄρχων τῆς πλάνης[26], καὶ ἠγνόησα
ὡς ἄνθρωπος[27], καὶ *ὡς σὰρξ[28] ἐν[29] ἁμαρτίαις φθαρείς[30].
⌜καὶ[31] ἐπέγνων[32] τὴν ἐμαυτοῦ ἀσθένειαν, νομίζων[33] ἀκατα-
μάχητος εἶναι⌝.

XX. Γνῶτε[1] οὖν, τέκνα μου[2], ὅτι δύο πνεύματα σχολά-
ζουσι[3] τῷ ἀνθρώπῳ, *τὸ τῆς[4] ἀληθείας καὶ *τὸ τῆς[5]
πλάνης[6].

β, S^1 δι' ἀργυρίου.
β–f, A, S τῆς σαρκός μου.
β, S τῆς ψυχῆς μου.
β, A, S εὐχαὶ Ἰακώβ.
β, A, S ὁ οἰκτίρμων καὶ ἐλεήμων συνέγνω.
c om. καὶ ἠγνόησα . . . τῆς πλάνης (XX. 1).

read εἴδωλα. [3] g adds τὴν ψυχήν. [4] g om. [5] β, S^1 add διά. [6] A adds θεούς. [7] A reads τοὺς ἔχοντας. [8] c reads αὐτόν. [9] g reads κοτειαν. [10] α, A. β om. [11] dg read ἀργυρίου. A^b adds Βηρσουὲ τῆς γυναικός μου. [12] α. β, A, S^1 read ἀπώλεσα τὰ τέκνα μου. [13] $A^{ab*cdeg}$ om., but not A^b as in Arm. text [14] g om. f, A^b read ἦν ἡ, and f om. next four words. [15] α. β–f, A, S read τῆς (b om.) σαρκός μου. A^{-b} om. next hmt. four words. A^b om. next ten words. [16] α. β, S read τῆς (b om.) ψυχῆς μου. [17] g, A om. [18] β, $A^{ab*cdefg}$, S^1 add Ἰακώβ. [19] α. β om. $A^{ab*cdefg}$ = ἔσωζον, A^b = οὐκ ἂν ἐσώθην καί. This passage illustrates well the respective values of our authorities. συνέδραμον = רצו, corrupt for נרצו = ἐδέχθησαν. Or possibly for עזרו = ἐβοήθησαν. (Cf. T. Gad, v. 9, note). β simply omitted συνέδραμον as unintelligible, while the reading of A may represent attempts on the part of Armenian scribes to give sense to the text, or ἔσωζον may = עזרו, as it does a few times in the LXX. [20] A^{ab} = ἡμῶν. [21] α. β, A, S read ὁ (aef om.) οἰκτίρμων καὶ ἐλεήμων συνέγνω (A ἔγνω). [22] c. h, β read ἀγνοίᾳ. [23] c. h reads τὸ ἄτοπον. β, A om. [24] A = ἐσκανδάλισε. [25] af om. [26] c om. rest of verse together with xx. 1 through hmt. [27] h om. rest of verse. [28] beg, A, S. a(?)f om. d reads ὡς ἅπαξ. [29] g om. [30] d reads διαφθαρείς. A = φυρείς or φυρθείς, a corruption of φθαρείς. A om. rest of verse. [31] dfg om. [32] a reads ἐπέγνω. [33] d reads ἦν ἐνόμιζον.

XX. [1] h. befg read ἐπίγνωτε, d γινώσκετε. a om. entire chapter. [2] ef om. [3] h adds ἐν. [4] A = εἰς τὴν ἀλήθειαν. [5] g reads τῆς, A εἰς τήν. [6] dg om. ver. 2 and first eight words of ver. 3 through hmt. A = πλάνην. [7] h. c reads μέσων ἐστὶ τῆς συνηδήσεως. α defective and corrupt in vers. 2–4. [8] Corrupt for ἐν ᾧ? [9] A = μέσῳ αὐτῶν (+ δυοῖν

α	β, A, S[1]
2. Καὶ *μέσον ἐστὶ συνειδήσεως[7]. 3. Καὶ ἓν ἕκαστον αὐτῶν γνωρίζει ὁ Κύριος. 4. Καὶ οὐκ ἐστὶ καιρὸς ὃς[8] δυνήσεται λαθεῖν αὐτὸν τὰ ἔργα τῶν ἀνθρώπων, ὅτι καὶ τὰ στήθη τῶν ὀστέων αὐτῶν παρὰ Κυρίου γέγραπται.	2. Καὶ μέσον[9] ἐστὶ *τὸ τῆς συνέσεως[10] *τοῦ νοός, οὗ ἐὰν θέλῃ, κλῖναι[11]. 3. *Καίγε τὰ τῆς ἀληθείας καὶ τὰ τῆς πλάνης γέγραπται ἐπὶ τὸ στῆθος τοῦ ἀνθρώπου[12]. καὶ ἓν[13] ἕκαστον αὐτῶν[14] γνωρίζει *ὁ Κύριος[15]. 4. Καὶ οὐκ ἐστὶ καιρὸς ἐν ᾧ *δυνήσεται λαθεῖν ἀνθρώπων ἔργα[16], ὅτι ἐν †στήθει ⌜ὀστέων⌝[17] αὐτοῦ†[18] ἐγγέγραπται[19] ⌜ἐνώπιον Κυρίου.

β, A μαρτυρεῖ πάντα καὶ κατηγορεῖ.

5. *Καὶ⌝ τὸ[20] πνεῦμα τῆς ἀληθείας[21] κατηγορεῖ[22] πάντων καὶ[23] ἐμπεπύρισται ὁ ἁμαρτωλὸς[24] ⌜ἐκ τῆς ἰδίας καρδίας⌝, καὶ *ἆραι πρόσωπον ⌜πρὸς τὸν κριτὴν⌝ οὐ δύναται[25].

β, A, S[1] ἀγαπήσατε.

XXI. Καὶ νῦν, τέκνα μου[1], *παραγγέλλω ὑμῖν, ἀγαπᾶτε[2]

A[b]) [10]A = σύνεσις. [11]A reads զոր կան և ունին միտք = ἥν ἐστι καὶ ἔχει νοῦς(?), corrupt for միտաց յոր կամին յեղուլ(?) = νοός, οὗ ἐὰν θέλῃ κλῖναι. [12]*b*, S[1] (save that S[1] reads ἐπικλίνεται for γέγραπται). *ef* read καίγε (+τὸ τῆς ἀληθείας καὶ *e*) τὸ τῆς πλάνης παραβάλλει ἐπὶ τὸ στ. τοῦ ἀνθρώπου. The text reflects the language of Prov. iii. 3, Jer. xxxi. 33, כתב על לב, 'to write on the heart.' στῆθος is a rendering of לב as in Ex. xxviii. 23, 26. *dg* om. first eight words as we have seen (see note 6) and read ταῦτα (*g* om.) γέγραπται (+γὰρ *g*) ἐπὶ τὸ (*g* om.) στ. τοῦ ἀνθ. A = ὅτι ἀδικία καὶ ἀλήθεια γεγραμμέναι εἰσὶ ἐπὶ τὸ στ. τοῦ ἀνθ. [13]*d*, A = ἕνα. [14]*dg* read αὐτόν. A = ἀνθρώπων. S[1] hopelessly corrupt in this clause. [15]α, *g*. *a*(?)*bd*, A read Κύριος, *ef* Κύριον. [16]*bdef*, S[1] (save that *f* reads μαθεῖν). *g* reads δυνήσ. ἄνθρωπον ἔργα αὐτοῦ λαθεῖν. A[ab*cdeg] = δυνήσ. ἄνθρωπος κρύψαι, A[b] ἄνθρωπος δυνήσ. κρύψαι ἔργα αὐτοῦ. Perhaps we should read ἀνθρώπου in the text. Cf. *g*, A. [17]A om., because unintelligible as it stands. But ἐν στήθει ὀστέων αὐτοῦ בלב עצמו = 'on the heart itself,' or (less likely) it is corrupt for ἐν ὀστέῳ στήθους αὐτοῦ = בעצם לבו, which has the same meaning: cf. Ex. xxiv. 10; Job xxi. 23. With the former construction, cf. Keth. 77[b] עשה בשביל כבוד עצמך = 'do it on account of thy own honour.' [18]*b*, S[2] read αὐτός. [19]*d* reads γέγραπται. [20]*h* reads τὸ δέ. [21]A adds καί. [22]α. β, A = μαρτυρεῖ πάντα καὶ (*ef* om.) κατηγορεῖ. S[1] ἀκούει ἄμφω καὶ κατηγορεῖ. [23]A adds ὡσεί. [24]α. β reads ἁμαρτήσας. [25]α. β reads ἆραι π. οὐ δύν. πρὸς τ. κριτήν. A = οὐ δύν. ἆραι τὸ πρόσωπον αὐτοῦ.

XXI. [1]*abg* om. [2]α. β, A, S[1] read ἀγαπήσατε. [3]*d* reads Λευίν.

τὸν Λευὶ[3] ἵνα[4] διαμείνητε[5] καὶ[6] ⌜μὴ ἐπαίρεσθε[7] *ἐπ'
αὐτόν[8]⌝, ἵνα μὴ ἐξολοθρευθῆτε[9]. ⌜2. Ἐμοὶ γὰρ[10] ἔδωκεν
*ὁ θεὸς[11] τὴν βασιλείαν, κἀκείνῳ[12] τὴν ἱερατείαν[13], καὶ
ὑπέταξε[14] τὴν βασιλείαν *τῇ ἱερωσύνῃ[15]. 3. Ἐμοὶ
ἔδωκεν τὰ ἐπὶ[16] γῆς, ἐκείνῳ τὰ[17] ἐν οὐρανοῖς[18]. 4. *Οὕτως
γὰρ[19] *ὑπερέχει ἡ ἱερατεία τοῦ θεοῦ[20] τῆς ἐπιγείου[21]
βασιλείας[22], ἐὰν μὴ δι' ἁμαρτίας ἐκπέσῃ[23] ἀπὸ[24] Κυρίου[25] καὶ
κυριευθῇ[26] *ἀπὸ τῆς[27] ἐπιγείου βασιλείας⌝. 5. *Ὁ γὰρ
ἄγγελος Κυρίου εἶπέ μοι, ὅτι αὐτὸν ὑπέρ σε ἐξελέξατο Κύριος[28]
προσεγγίζειν[29] αὐτῷ[30], καὶ ἐσθίειν[31] τὴν[32] τράπεζαν αὐτοῦ,
καὶ ⌜ἀπαρχὰς *αὐτῷ προσφέρειν[33]⌝ ἐντρυφημάτων[34] υἱῶν Ἰσραήλ.
*Σὺ δὲ ἔσῃ βασιλεὺς Ἰακώβ[35].
6. Καὶ ἔσῃ[36] ⌜ἐν αὐτοῖς⌝[37] ὡς[38] ἡ[39] θάλασσα. Καθάπερ[40]
γὰρ[41] ἐν αὐτῇ δίκαιοι[42] χειμάζονται[43], ⌜οἱ μὲν αἰχμαλωτιζόμενοι
*οἱ δὲ πλουτοῦντες[44]⌝, οὕτως καὶ *ἐν σοὶ πᾶν γένος[45] ἀνθρώ-

β Κύριος.
β–af, S¹ ὡς ὑπερέχει ὁ οὐρανὸς τῆς γῆς, οὕτως.
β, A, S¹ καὶ γάρ.
β, S¹ ἀπαρχὰς ἐντρυφημάτων.
bdeg, A, S¹ δίκαιοι καὶ ἄδικοι.

[4] *d* adds δι' αὐτοῦ. [5] *hi*, *β*, A. *c* reads μείνητε. A adds εἰς τὸν αἰῶνα. [6] *hi* om. [7] *c* reads ἐπέρεσθε, *hi* ἐπέρεσθαι, *d* ἐπέρετε. [8] α, *β–af*. *a* reads ἐπ' αὐτῷ, *f* εἰς αὐτόν. [9] A om. next three verses. [10] *d* reads μέν. [11] *ch*. *i*, *β* read ὁ (*β* om.) Κύριος. [12] *d* reads ἐκείνῳ δέ, *b* ἐκείνῳ. [13] α, *abe*, S¹. *df* read ἱερωσύνην, *g* εἰρήνην. *g* om. next six words. [14] *c* reads ἐπέταξε. [15] α reads ἡ ἱερωσύνη. [16] *hi*, *df*, S¹ add τῆς. [17] *hi* read δὲ τά, *f* τοῦ. [18] *c* reads οὐρανῷ. [19] *ch*. *β–af*, S¹ read ὡς (ὥσπερ γάρ *d*) ὑπερέχει ὁ (*b* om.) οὐρανὸς τῆς γῆς οὕτως (τοσοῦτον *d*), *a* οὕτως, *f* ὄντως, *i* οὐ γάρ. [20] *c*. *hi* read υπερατεια (sic) τοῦ θεοῦ, *β* ὑπερέχει θεοῦ (*g* om.) ἱερατεία (ἱερατείας *d*). [21] *β* reads ἐπὶ γῆς. [22] *bd* om. rest of verse through hmt. [23] *c* reads ἐκπέσει, *g* ἀποπέσει. [24] α. *β* om. [25] *hi* read τοῦ Κυρίου (*i* Θεοῦ). [26] *c* reads κυριευθείς, *g* κυριευθεῖ. [27] *c*. *hi* read ἐπὶ τῆς, *efg* read ὑπὸ τῆς, *a* ὑπό. [28] α (save that *hi* add ὁ before Κύριος). *β*, S¹ read καὶ γὰρ αὐτὸν ὑπέρ σε (*g* om. ὑπ. σε) ἐξελέξατο (+ ὁ *d*) Κύριος. A = ἐξελέξατο γὰρ αὐτὸν Κύριος ὑπὲρ ὑμᾶς. [29] α. *β* read ἐγγίζειν. A = ἐγγίσατε. [30] *d* reads αὐτόν, S¹ αὐτοῖς. [31] A = φάγετε. [32] α. *β* om. [33] α (save that *hi* read αὐτοῦ). *β*, A, S¹ om. [34] *b* reads ἐντρυφήματα. *h* adds τῶν. [35] α, *β–bg*, A, S¹ (save that *d* reads ἔσει and *d*, A add ἐν before Ἰακώβ and *hi* om. Ἰακ.). *g* reads ἐμὲ δὲ βασιλεύειν ἐν Ἰ. *b* om. [36] *d* reads ἔσει, *g* εἶναι. [37] α, *efg*. *ab* read αὐτοῖς, *d* ἐπ' αὐτόν. [38] *e* reads ὡσεί. [39] α, *adf*. *g* reads ἐν (θαλάσσῃ). *be*, A om. [40] α. *β* reads ὥσπερ. [41] α, *β*, A^b. A^{−b} om. [42] *d* prefixes οἱ. *bdeg*, A, S¹ add καὶ (+ οἱ *d*) ἄδικοι. [43] A read մկրտին (= βαπτίζονται) corrupt for մրրկին = χειμάζονται. *g* reads σχηματίζονται. A om. next six words. [44] *β–g*. α reads οἱ δὲ πλουτοῦσιν, *g* πλανοῦντες δέ. *d* om. οὕτως καὶ . . . πλουτοῦσιν by hmt. (?), and reads καί instead. [45] *β–d*, A. *c* reads ἐσύ (sic) ὅτι τὸ γένος τῶν, *hi* σὺ γένος. [46] A = Ἰσραήλ. *g* adds ἤγουν ἐμοί. [47] α,

β, S^1 ἁρπάζοντες. β, A οἱ βασιλεύοντες (+ ἐν σοὶ A) ἔσονται ὡς κήτη. β, S^1 θυγατέρας καὶ υἱοὺς ἐλευθέρους. α om. οἴκους... ἁρπάσουσιν.

πων[46], οἱ μὲν †κινδυνεύουσιν[47] αἰχμαλωτιζόμενοι ⌜οἱ δὲ πλουτοῦσιν[48] ἁρπάζοντες *τὰ ἀλλότρια[49]⌝.

7\. Ὅτι *οἱ βασιλεῖς ὡς κήτη ἔσονται[50],
*καταπίνοντες ἀνθρώπους[51] ὡς ἰχθύας
*υἱοὺς καὶ θυγατέρας ⌜ἐλευθέρων⌝[52] καταδουλώσουσιν[53]
*οἴκους, ἀγρούς, ποίμνια, χρήματα ἁρπάσουσιν[54].
8\. Καὶ πολλῶν σάρκας ⌜ἀδίκως⌝[55] κόρακας[56] *καὶ ἴβεις[57] χορτάσουσιν[58]
⌜καὶ προκόψουσιν[59] ἐπὶ κακῷ[60] ἐν πλεονεξίᾳ ὑψούμενοι⌝.
9\. Καὶ ἔσονται ⌜ὡς⌝ καταιγίδες[61] ψευδοπροφῆται[62],
καὶ πάντας[63] δικαίους διώξουσιν[64].

XXII. Ἐπάξει[1] δὲ αὐτοῖς[2] Κύριος διαιρέσεις ⌜κατ' ἀλλήλων⌝[3],
καὶ πόλεμοι ⌜συνεχεῖς⌝ ἔσονται ἐν Ἰσραήλ[4].
2\. Καὶ ἐν ἀλλοφύλοις[5] συντελεσθήσεται ἡ βασιλεία μου[6],
ἕως *τοῦ ἐλθεῖν[7] *τὸ σωτήριον[8] τοῦ[9] Ἰσραήλ[10],

bfg. *ae* read οἱ μὲν κινδυνεύσουσιν. A = κινδυνεύσει καὶ παραβήσεται and om. rest of verse. S^1 = πεσοῦνται εἰς ἀτυχίας. Instead of κινδυνεύουσιν the text requires some word the antithesis of πλουτοῦσιν. Now κινδυν. = יִסְכְּנוּ (or יִסָּכְנוּ) (late Hebrew) the former of which in earlier Hebrew = πτωχεύουσι (cf. Is. xl. 20), or text = נִסְכָּנִים corrupt for מִסְכְּנִים = πτωχεύουσιν. The latter is a rare word: cf. Eccles. iv. 13, v. 15, ix. 15. The former word, though found only once in O.T., is common in later Hebrew. [48] *be*, S^1 read πλουτίσουσιν, *i* πλουτίζωσιν. [49] α. β, S^1 om. [50] α. β, A read οἱ (*a* om.) βασιλεύοντες (+ ἐν σοὶ A) ἔσονται ὡς κήτη. S^1 = ὥσπερ βασιλεύοντες ἔσονται ὡς κήτη. [51] A = καὶ καταπίονται Ἰσραὴλ ὡς ἰχ. S^1 ἐσθίοντες ἰχθύας καὶ ἀνθρώπους. [52] α, A (save that A^{ab} read αὐτῶν and $A^{hb*cdefg}$ om. ἐλευθέρων). β, S^1 read θυγ. καὶ υἱοὺς ἐλευθέρους (*d* om.). [53] *bg* read καταδουλοῦσιν. [54] *b*. This line is omitted by α but attested by β, A, S^1. Likewise the parallelism supports it. β–*b*, A, S^1 read (+ καὶ A) οἴκους (χρυσίον *d*) καὶ ἀγροὺς καὶ (β–*d* om.) ποίμνια καὶ (β, S^1 om.) χρήματα (β–*b*, S^1 om.) ἁρπάσουσιν (ἁρπάσωσιν *f*, ἁρπάζουσιν *g*). [55] *g* prefixes καί. For πολλῶν . . . χορτάσουσιν S^1 reads πολλὰ σώματα τῶν ἀδίκων κόρακες καὶ καθαρματοφαγοῦσαι ὄρνιθες χορτάσουσιν. [56] *a* reads κόρακες. [57] β–*g*. *c* reads ἠβεῖς, *hi* καὶ κύνες, *g* ἴβεις. [58] *d* reads χορτάσωσι, *g* χορτάζουσι. [59] *c* reads προσκόψουσιν. [60] α, *af*. *bedg* read τὸ κακόν, *hi* κακῶν. [61] *c* reads καταιγίδαις, *g* καταιγίς, S^1 ἀποστάται. [62] A = προφῆται. [63] *f* reads ἅπαντας, *d* adds τούς. [64] *b* reads διώξονται, *f* διώξωσιν. For πάντας . . . διώξουσιν A reads πάντες οἱ δίκαιοι διωχθήσονται.

XXII. [1] *g* reads ἐπανάξει. [2] *ci*, *e* read αὐτούς. [3] *hi*, A om. [4] α om. next two lines through hmt. *d* om. next line. [5] A adds καί and thus connects καὶ ἐν ἀλλοφ. with what precedes. [6] A = αὐτῶν. [7] *d* reads οὗ ἔλθῃ. [8] A^b = ἡ βασιλεία. [9] *b* om. [10] *d* reads κόσμου and adds καὶ ἐν

⌈ἕως τῆς[11] παρουσίας[12] Θεοῦ τῆς δικαιοσύνης⌉,
*τοῦ ἡσυχάσαι τὸν Ἰακὼβ[13] ἐν εἰρήνῃ ⌈καὶ πάντα τὰ ἔθνη⌉[14].

3. Καὶ αὐτὸς φυλάξει κράτος[15] βασιλείας μου ἕως[16] αἰῶνος[17], ὅρκῳ γὰρ ὤμοσέ μοι ὁ[18] Κύριος[19] μὴ ἐξαλεῖψαι[20] *τὸ βασίλειον ἐκ τοῦ σπέρματός μου ἕως αἰῶνος[21].

XXIII. Πολλὴ[1] ⌈δὲ⌉ λύπη[2] μοί ἐστι, τέκνα μου[3], διὰ β-af, A,
τὰς ἀσελγείας[4] καὶ γοητείας[5] ἃς ποιήσετε ⌈εἰς τὸ βασίλειον⌉[6], ἐγ- S¹ γοη-
γαστριμύθοις[7] ἐξακολουθοῦντες[8] κληδόσι[9] καὶ δαίμοσι[10] πλάνης[11]. τείας καὶ εἰδωλο-
2. Τὰς θυγατέρας ὑμῶν μουσικὰς καὶ δημοσίας[12] ποιήσετε[13], λατρείας.
*ἐπιμιγήσεσθε δὲ[14] *ἐν βδελύγμασιν[15] ἐθνῶν. 3. Ἀνθ'
ὧν ἐπάξει[16] Κύριος *ἐφ' ὑμᾶς[17] λιμὸν καὶ λοιμόν[18], θάνατον
καὶ ῥομφαίαν [ἐκδικοῦσαν][19], **πολιορκίαν** [**καὶ κύνας εἰς δια-** a, A πο-
σπασμὸν][20] **ἐχθρῶν**[21] καὶ *φίλων ὀνειδισμούς[22], [ἀπώλειαν[23] λιορκίαν ἐχθρῶν.

ἀλλοφύλοις συντελεσθήσεται ἡ βασιλεία μου. [11] α. β om. [12] β–g add τοῦ [13] A = καὶ τότε οἰκήσει Ἰ. (Ἰσραὴλ καινός A^{b}). [14] Bracketed as an interpolation. It is foreign to the context and A om. c om. the τά. h om. next eight words. [15] g reads τὸ κράτος τῆς. [16] b adds τοῦ. [17] i om. rest of verse. [18] c. Other MSS. om. [19] d adds τοῦ. [20] ch, aef. b reads ἐκλείψειν, d ἐκλεῖψαι, g, A ἔκλειψιν ποιῆσαι, S¹ λαμβάνειν. [21] ch, A (save that c om. ἐκ τοῦ σπ. μου). β, S¹ read τὸ βασίλειόν (τὴν βασιλείαν d) μου ἐκ (καὶ bg) τοῦ σπέρματός (τῷ σπέρματί g) μου πάσας τὰς ἡμέρας (f om. π. τ. ἡμ.) ἕως (g om.) τοῦ (a om.) αἰῶνος.

XXIII. [1] c reads πολλύ. [2] g trs. after ἐστι. [3] aef om. [4] c, b read ἀσελγίας, f ἀλγηδόνας. [5] h om. β–af, A add καὶ εἰδωλολατρείας. [6] A reads καί, d ἐπὶ τὸ βασιλεύειν. [7] α reads ἐν γαστρὶ μύθους. [8] b reads ἀκολουθοῦντες. [9] b, A. So also g but trs. κλ. and δαιμ. πλάνης. This word is written variously in the MSS. c reads κλύδωσι, hi κλώδωσι, d κλύδοσι, e κλήδωσιν, f κλείδοσιν. a om. [10] c, e read δαίμωσιν. [11] β, A. c reads πλάνων, hi πάντων. [12] S¹ = ὀρχηστρίδας. [13] hi, df read ποιήσητε. A^{ab} = ποιεῖτε. [14] α. β–g, A^{abcefg} read καὶ (aef om.) ἐπιμιγ., g ἐπὶ γῆς ἔσεσθε. A^{hb*d} = ἐπιμιγήσονται. [15] a reads βδελύγματι, g βδελύγματα. [16] α. β–d read ἄξει, d ἥξει. [17] $A^{abhb*cd}$ om. but not A^{eg}. [18] A^{ab} read սասանութիւն (= σεισμόν) corrupt for սրածութիւն = λοιμόν. $A^{hb*cdeg}$ սպանութիւն = φόνον. hi read λοιμοῦ and om. preceding καί. dg add καί. λοιμόν may be a corrupt dittography of λιμόν. Then λιμός, θάνατος, and ῥομφαία would be the three destroying agencies so frequently mentioned together in Jer. xiv. 12, xv. 2, &c. [19] Since A om. and the word injures the parallelism I have bracketed as an interpolation. A adds καί. [20] Since a, A om. and the phrase seems alien to the context I have bracketed it as an intrusion. It is derived from Jer. xv. 3. By its omission ἐχθρῶν is rightly made dependent on πολιορκίαν, and this phrase is balanced by φίλων ὀνειδισμούς. a om.

β, A, S¹ ἀναίρεσιν (A om.) καὶ συμβίων ἀφαίρεσιν.

καὶ *σφακελισμὸν ⌜ὀφθαλμῶν[24], καὶ⌝] νηπίων ⌜ἀναίρεσιν⌝[25] *ὑπαρχόντων ἁρπαγήν[26], ⌜ναοῦ[27] θεοῦ ἐμπρησμόν[28], *γῆς⌝ ἐρήμωσιν[29], *ὑμῶν δὲ[30] αὐτῶν[31] δουλείαν ἐν ἔθνεσιν.
4. Καὶ ἐκτεμοῦσι *τοὺς υἱοὺς[32] ὑμῶν εἰς[33] εὐνούχους *ταῖς γυναιξὶν[34] αὐτῶν.
5. Ἕως[35] ἂν *ἐπισκέψηται κύριος ὑμῖν[36], *ἐν

β, A, S¹ ἐπιστρέψητε πρὸς κύριον.

next five words. [21] *h* reads ἐχθροῦ. With πολιορκίαν ἐχθρῶν cf. Jer. xix. 9. [22] α, *abd*, A^{b} (Armenian text wrong here). So also A^{hb*d} with words transposed. A^{ace} = φίλων εἰς ὀνειδισμούς. *efg* read φίλων ὀνειδισμόν. [23] The text is here uncertain. A comparison of the adjoining context suggests that ἀπώλειαν καὶ σφακ. ὀφθαλμῶν is, if original, thoroughly corrupt. Thus if ὀφθαλμῶν is original, it is unlikely that it was preceded by two accusatives, as all the adjoining parallels are against this. But ὀφθαλμῶν cannot be right. The preceding genitives and the following one (two?) relate to persons. Hence ὀφθαλμῶν is either interpolated or corrupt. (i) First if ὀφθαλμῶν is an interpolation (*hi*, A omit it), ἀπώλειαν καὶ σφακελισμόν = שחת וכלה; for σφακελίζω in the only two places where it occurs in the LXX (Lev. xxvi. 16; Deut. xxviii. 32) is a rendering of כלה. Now this phrase could be an easy corruption of שחת כלות = ἀπώλειαν νυμφῶν, 'the destruction of brides.' (ii) Again, if ὀφθαλμῶν is interpolated, the interpolation may extend also to the two preceding words. The phrase καὶ σφακελισμὸν ὀφθαλμῶν would be then an addition to the text like καὶ κύνας εἰς διασπασμόν above, and ἀπώλειαν might be taken as a marginal gloss—explaining the rare word σφακελισμόν—which was subsequently taken into the text. (iii) Or finally, if ὀφθαλμῶν represents some corruption in the original, σφακελισμὸν ὀφθαλμῶν = כלת עינים, where עינים could be corrupt for עולים = παιδίων or νηπίων. In that case σφακ. †ὀφθαλμῶν (i.e. νηπίων) would be simply a dittography of the following clause νηπίων ἀναίρεσιν, ἀπώλειαν having been originally as in (ii) a marginal gloss. As I think we should adopt either (ii) or (iii), I have bracketed the clause ἀπώλειαν . . . ὀφθαλμῶν καί as an addition to the text. [24] Cf. Lev. xxvi. 16 שחפת . . . מכלות עינים, also Deut. xxviii. 32. *hi*, A om. ὀφθαλμῶν and *d*, A the following καί. For σφακ. *a* reads λήμην and *d* σφακελιμούς. S¹ reads καὶ πρὸ τῶν ὀφθαλμῶν. [25] α, β. A om. β, A, S¹ add καὶ συμβίων ἀφαίρεσιν (*g* ἀναίρεσιν, A διαίρεσιν). [26] *bdg*, S¹. *ef* read ὑπαρχόντων ἀπαρχόντων. *a* om. *c* reads ὑπαρχόντων ἀπαρχῶν, *hi* ἀπαρχὴν τῶν ἀπαρχῶν. A = καὶ (A^{abeg} om.) ἔνδειαν (but պակասումն is corrupt for կապուտումն = ἁρπαγήν) ὑπαρχόντων. [27] *hi* read ναῶν. [28] α, *adg*. For ἐμπρησμόν of α, *adg*, ἐμπυρισμόν is read by β–*adg*. [29] *a* trs. before ναοῦ. *g* reads εἰς ἐρήμωσιν. [30] α. β–*d*, S¹ read ὑμῶν, *d*, A καὶ ὑμῶν. [31] *h* om. next eight words. A adds εἰς. [32] α. β, A, S¹ read ἐξ. [33] *g* om. [34] α

τελείᾳ καρδίᾳ[37] *μεταμελουμένους καὶ πορευομένους[38] ἐν πάσαις ταῖς ἐντολαῖς αὐτοῦ[39], ⌜καὶ⌝ *ἀναγάγῃ ὑμᾶς[40] ἐκ[41] *τῆς αἰχμαλωσίας ⌜τῶν ἐθνῶν⌝[42].

β, A, S¹ μεταμελουμένοι καὶ πορευόμενοι.

α, β, S	A
XXIV. *Καὶ μετὰ ταῦτα[1] ἀνατελεῖ ὑμῖν[2] ἄστρον ἐξ Ἰακὼβ ἐν εἰρήνῃ[3], καὶ ἀναστήσεται[4] ἄνθρωπος [ἐκ τοῦ σπέρματός μου][5] *ὡς ἥλιος δικαιοσύνης[6], συμπορευόμενος[7] τοῖς ἀνθρώποις[8] ἐν πραότητι καὶ δικαιοσύνῃ. *Καὶ πᾶσα ἁμαρτία οὐχ εὑρεθήσεται ἐν αὐτῷ[9].	XXIV. Καὶ μετὰ ταῦτα ἀνατελεῖ τὸ ἄστρον εἰρήνης, *τοῦ ἡλίου τῆς δικαιοσύνης[11] καὶ συμπορεύσεται ἀνθρώποις *ἐν πραότητι καὶ δικαιοσύνῃ[12].
2. Καὶ ἀνοιγήσονται ἐπ᾽ αὐτῷ[10] οἱ οὐρανοὶ	2. Καὶ[13] ἀνοιγήσονται αὐτῷ οὐρανοὶ

β–b, A, S¹ ἐπισκέψηται ὑμᾶς Κύριος ἐν ἐλεεῖ καὶ ἀναγάγῃ.

reads τὰς γυναῖκας. A = εἰς δουλείαν γυναικῶν. [35] α, β–bg, S¹. bg, A read καὶ ὡς. [36] α, save that c gives form ἐπισκέψειται. The construction is irregular. We should expect ὑμᾶς. β, A, S¹ read ἐπιστρέψητε πρὸς Κύριον (+καί A). [37] α, β–bd, A. b reads εὐτελείᾳ καρδίας, d ἐν τέλει καρδίας. [38] α. β, S¹ read μεταμελούμενοι καὶ πορευόμενοι (d om. καὶ πορ.). A = μεταμελήσεσθε καὶ πορεύσεσθε. [39] α, A. β, S¹ read τοῦ Θεοῦ. [40] α (but with the form ἀναγάγει). β, A, S¹ read καὶ (A om.) ἐπισκέψηται (ἐπισκέψεται a) ὑμᾶς (ἡμᾶς d) Κύριος (A^{ab*cd} om.) ἐν ἐλεεῖ καὶ ἀναγάγῃ (ἀναγάγει dg, ἐν ἀγάπῃ b). [41] α. β reads ἀπό. [42] hi, β–b (save that for ἐθνῶν f reads λαῶν). c reads τῶν ἐθνῶν τῆς αἰχμαλωσίας, b τῆς αἰχ. τῶν ἐχθρῶν ὑμῶν.

XXIV. [1] c om. καί and trs. μετὰ ταῦτα after Ἰακώβ. h prefixes as title of chapter περὶ τοῦ Χριστοῦ πῶς μέλλει γεννηθῆναι. [2] g om. Cf. A. [3] In T. Levi xviii. 3 we have οὐρανῷ. [4] e om. [5] Interpolated probably by the scribe who added verses 5 and 6. Verses 1–3 refer to the Messiah from Levi. [6] b reads ὡς ὁ ἥλιος τῆς δικαιοσύνης. A^{-b} om. The phrase is drawn from Mal. iv. 2, and ἀναστήσεται ἄνθρωπος recalls the peculiar text of the LXX of Num. xxiv. 17. [7] We should expect to find καὶ συμπορεύσεται as in A. [8] α, aef. bdg read υἱοῖς τῶν ἀνθρώπων. [9] There is no adequate ground for rejecting this clause as a Christian interpolation. Cf. T. Levi xvii. 9; Pss. Sol. xviii. 41, where the Messiah is to be καθαρὸς ἀπὸ ἁμαρτίας. [10] be read αὐτόν, S¹ αὐτοῖς. [11] A^b. Rest om. [12] Emended from A^{abb*dg} which = ἡσυχίᾳ καὶ δικαιοσυνῃ, for հանդարտութեամբ is corrupt for խոնարհութեամբ = πραότητι. A^b = ἐν ἡσυχίᾳ, A^{ce} εἰρήνῃ καὶ ἡσυχίᾳ.

	α, β, S	A
	Ἐκχέαι[14] πνεῦμα[15] εὐλογίαν πατρὸς ἁγίου[16],	καὶ ἐκχυθήσονται εὐλογίαι πατρὸς ἁγίου ἐπ' αὐτῷ[29],
	καὶ αὐτὸς ἐκχεεῖ πνεῦμα χάριτος ἐφ' ὑμᾶς.	καὶ αὐτὸς ἐκχεεῖ ἐφ' †ἡμᾶς[30] πνεῦμα χάριτος.
α ἐν ἀληθείᾳ.	3. *Καὶ ἔσεσθε αὐτῷ εἰς υἱοὺς[17] ἐν ἀληθείᾳ	3. Καὶ ἔσεσθε αὐτῷ εἰς υἱοθεσίαν ἀληθείας
	*καὶ πορεύσεσθε[18] ἐν προστάγμασιν[19] αὐτοῦ πρώτοις καὶ ἐσχάτοις.	καὶ πορεύσεσθε ἐν τοῖς προστάγμασιν αὐτοῦ πρώτοις καὶ δευτέροις.
	4. [Οὗτος ὁ βλαστὸς Θεοῦ ὑψίστου	4. [Τότε ἀναβήσεται βλαστὸς ἀπ' ἐμοῦ]
β–d, S¹ εἰς ζωὴν πάσης σαρκός.	καὶ αὕτη ἡ πηγὴ *πᾶσι παρέχουσα ζωήν[20]].	
	5. Τότε ἀναλάμψει[21] σκῆπτρον βασιλείας μου	5. Καὶ *ἀναλάμψει σκῆπτρον[31] βασιλείας μου
	καὶ ἀπὸ τῆς ῥίζης ὑμῶν[22]	καὶ ἀπὸ τῆς ῥίζης ὑμῶν[32]
α πηγή.	γενήσεται πυθμήν[23],	ἀναστήσεται πυθμήν,
β, S¹ ἐν αὐτῷ ἀναβήσεται.	6. Καὶ *ἐξ αὐτῆς βλαστήσει[24] ῥάβδος δικαιοσύνης[25] τοῖς ἔθνεσιν	6. Καὶ ἀπ' αὐτοῦ ἀναβήσεται[33] ῥάβδος δικαιοσύνης τοῖς ἔθνεσιν
	*κρῖναι καὶ σῶσαι[26] πάντας τοὺς[27] ἐπικαλουμένους τὸν[28] Κύριον.	κρῖναι καὶ σῶσαι πάντας τοὺς ἐπικαλουμένους Κύριον.

13 A^{beg}. A^{ab*cd} om. 14 *c* reads ἐκχαῖε (sic). 15 α, β–*bg*. *bg*, S² read πνεύματος. Though A om. there seems no valid ground for marking it as an interpolation. Cf. Ps. xi. 2; Joel ii. 28 for the thought. *hi*, *d* om. next seven words through hmt. 16 *g* reads αὐτοῦ, S¹ καὶ ἀγνότητα. 17 α om. 18 *b*. *deg* read καὶ πορεύεσθε. α, *af* om. *a* om. rest of line. 19 *hi*, *efg*. *c*, *bd*, S read προστάγματι. 20 α. β–*d*, S read εἰς ζωὴν πάσης (*g* om.) σαρκός, *d* εἰς ζωὴν αἰώνιον. *a* om. next two verses together with XXV. I have bracketed οὗτος . . . ζωήν as a Christian interpolation though some defence could be made. 21 *g* adds δεύτερον. 22 *hi* read ἡμῶν. 23 β–*ag*. α reads πηγή, *dg* ποιμήν. How this impossible reading arose I cannot discover. 24 *c*. β–*ag* read as in margin, *hi* ἐν αὐτῇ ἀναβήσεται, *g* ἐν αὐτῷ γενήσεται. 25 *g* adds ἐν. 26 *hi*, β. *c* reads καὶ σώσει. 27 *ef* om. 28 α. β om. 29 A^{b} adds ὅς ἐστι Χριστός. 30 $A^{abc(eg?)}$ but ἡμᾶς is corrupt for ὑμᾶς. A^{b*d} = ἀνθρώπους. 31 A^{ab}. A^{hb*cdg} = θαλλήσει ἀπὸ σκήπτρου. 32 A^{b} adds ἀπὸ προφητῶν. 33 A^{b} adds ὁ ἀπεσταλμένος.

XXV. Καὶ[1] μετὰ ταῦτα *ἀναστήσεται Ἀβραὰμ καὶ
Ἰσαὰκ καὶ Ἰακὼβ εἰς ζωήν[2], *καὶ ἐγὼ[3] καὶ οἱ ἀδελφοί μου
ἔξαρχοι[4] †σκήπτρων[5] ⸂ἐν Ἰσραὴλ⸃[6] ἐσόμεθα[7], *πρῶτος Λευί[8],
δεύτερος ἐγώ, τρίτος Ἰωσήφ, τέταρτος Βενιαμήν[9], πέμπτος
*Συμεών, ἕκτος Ἰσαχάρ[10], καὶ οὕτως *πάντες καθεξῆς[11]. 2. α Ζαβουλών.
Καὶ[12] ὁ[13] Κύριος εὐλόγησε[14] τὸν Λευί, *ὁ δ'[15] ἄγγελος τοῦ β–b, A
προσώπου[16] ἐμέ[17], *αἱ δυνάμεις[18] τῆς δόξης[19] τὸν Συμεών[20], εὐλογήσει.
ὁ οὐρανὸς τὸν Ῥουβίμ[21], τὸν Ἰσαχὰρ *ἡ γῆ[22], ἡ θάλασσα
τὸν[23] Ζαβουλών, τὰ ὄρη τὸν Ἰωσήφ, ἡ σκηνὴ[24] *τὸν Βενιαμήν[25],
οἱ φωστῆρες τὸν Δάν[26], *ἡ †τρυφὴ[27] τὸν Νεφθαλείμ[28], *ὁ
ἥλιος[29] τὸν Γάδ, *ἡ σελήνη[30] τὸν Ἀσήρ.

α, β, S^1	A
3. Καὶ *ἔσεσθε εἰς λαὸν[31] Κυρίου, καὶ[32] *γλῶσσα μία[33],	3. Καὶ ἔσονται εἰς λαὸν Κυρίου καὶ μία γλῶσσα
καὶ οὐκ ἔσται ἐκεῖ[34] *πνεῦμα πλάνης[35] τοῦ Βελίαρ,	καὶ οὐκ ἔσται ἐν ὑμῖν πνεῦμα πλάνης
ὅτι ἐμβληθήσεται, *ἐν πυρὶ[36] *εἰς τὸν αἰῶνα[37].	ὅτι ἐμβληθήσεται μιαρὰ πνεύματα[38] εἰς κρίσιν αἰώνιον.

β ἔσται εἰς λαός.

XXV. [1] *hi*, *g* om. [2] A = ἔσται Ἰακὼβ ζῶν καὶ Ἰσραὴλ ἀναστήσεται. *c* adds καί after Ἰακώβ. [3] α reads κἀγώ, *g* ἐγώ. [4] A^{abc} = ἔξαρχος. [5] α, *d*. *bf* read σκῆπτρον ἡμῶν (ὑμῶν *f*), *eg*, S^1 σκήπτρων ἡμῶν. The translator should have rendered שבטים here by φυλῶν, but A understood peculiar meaning of σκῆπτρον here and rendered by φυλῶν ἡμῶν. [6] *c* reads ἐν Ἱερουσαλήμ. [7] *c*, *df* read ἐσώμεθα. [8] α, A. β trans. The numbers are given in *e* throughout this verse by the Greek letters. [9] *c*, *df*. *hi*, *bg* read Βενιαμίν, *e* Βενιαμείν. [10] β–*f* (save that *d* reads Ἠσαχάρ), A, S^1. α reads Ζαβουλών, *f* Συμεών. *e*, S^1 add ζ´ Ζαβουλών. [11] α, *ef*. β–*ef*, S^1 read καθ. πάντες. A = πάντες. S^1 adds ἐν Ἰσραήλ. [12] *d* reads τότε. [13] β om. [14] α, *b*, S^1. β–*b*, A read εὐλογήσει. *d* trs. before Κύριος. [15] α. *d* reads καὶ ὁ, β–*d* ὁ. A = καί. [16] *d* reads πατρός μου. [17] β. α reads ἐμοί. [18] A = καὶ ὁ ἄγγελος. [19] A^{b*} adds αὐτοῦ. [20] *d* om. next four words. [21] α. *bfg* read Ῥουβήμ, *e* Ῥουβήν. [22] *d* trs. before τὸν Ἰσ. [23] *hi* add Βενιαμίν. [24] A = αἱ σκηναί. [25] *c*, *df*. *bg* read τ. Βενιαμίν, *e* τ. Βενιαμείν. *hi* om. [26] *d* reads Ἀδάμ. [27] A = αἱ τρυφαί. The original was עֵדֶן 'Eden.' [28] α, *abg*. *def* read Νεφθαλήμ. [29] A^{abceg} = δυνάμεις καὶ στηριγμοί, A^{hb*d} δύναμις καὶ στηριγμός. [30] α, β–*ab*. *b*, S^1 read ἐλαία. A = αἱ ἐλαῖαι. [31] α, A^{efg}. *bdg* read ἔσται εἰς λαός, *ef* ἔσται εἰς λαόν, A^{abb*cd} ἔσονται εἰς λαόν, S^1 ἔσται ἐν τοῖς λαοῖς. [32] *g*, S^1 om. [33] *f* reads γλῶσσαν μίαν. [34] α. *bg*, S^1 read ἔτι, *e* οὐκέτι, *df* om. [35] *d* reads τῇ πλάνῃ. [36] α, *df*. *be* read ἐν τῷ πυρί, *g* εἰς τὸ πῦρ. [37] *g* reads τὸ αἰώνιον. *dg* add καὶ ἐπέκεινα. [38] A^b adds

α, β, S¹

4. *Καὶ οἱ[39] ἐν λύπῃ τελευτήσαντες ἀναστήσονται ἐν χαρᾷ
καὶ[40] οἱ πτωχοὶ[41] διὰ[42] Κύριον[43] πλουτισθήσονται
καὶ οἱ *ἀποθνήσκοντες διὰ Κύριον[46] ἐξυπνισθήσονται *εἰς ζωήν[47].
5. Καὶ οἱ ἔλαφοι Ἰωσὴφ[48] δραμοῦνται ἐν ἀγαλλιάσει,
καὶ οἱ ἀετοὶ Ἰσραὴλ[49] πετασθήσονται[50] ἐν χαρᾷ
[οἱ δὲ ἀσεβεῖς πενθήσουσιν καὶ οἱ ἁμαρτωλοὶ κλαύσονται][51]
καὶ πάντες οἱ λαοὶ δοξάσουσι τὸν[52] Κύριον εἰς[53] αἰῶνας.

After πλουτισθήσονται β–g, S¹ add *καὶ οἱ ἐν πείνῃ χορτασθήσονται[44] *καὶ οἱ ἐν ἀσθενείᾳ ἰσχύσουσιν[45].
abg, A, S¹ Ἰακώβ.

A

4. Καὶ οἱ ἐν λύπῃ[54] τελευτήσαντες ἀναστήσονται
καὶ οἱ διὰ Κύριον ἀποθνήσκοντες ἐξυπνισθήσονται.
5. Καὶ οἱ ἔλαφοι τοῦ Ἰακὼβ δραμοῦνται[55]
καὶ αἱ δαμάλεις[56] τοῦ Ἰσραὴλ πηδιάσουσιν
καὶ πάντες λαοὶ δοξάσουσιν[57] Κύριον εἰς αἰῶνα.

β, A, S¹ κατευθύνουσι.

XXVI. Φυλάξατε[1] οὖν τέκνα μου *πάντα τὸν[2] νόμον Κυρίου[3], ὅτι[4] ἐστὶν *πᾶσιν ἐλπὶς[5] τοῖς κατέχουσιν[6] *τὰς τοῦ πονηροῦ.

[39] *d* reads καί, *g* ὡς. [40] *h* om. [41] α. β, S¹ read ἐν πτωχείᾳ. [42] *hi* add τόν. [43] S¹ adds ἐξυπνισθήσονται εἰς ζωὴν καί. [44] β–*g*, S¹ (save that for πείνῃ *ab*, S¹ read πενίᾳ, *d* πῖνα, *ef* πεῖνα). *ef* trs. this clause after ἰσχύσουσιν, and S¹ trs. it after ἐξυπνισθ. εἰς ζωήν. α, *g*, A om. An interpolation. [45] β–*d*, S¹. α, *d*, A om. An interpolation. [46] α (save that *hi* add τόν after διά). *abdg* read διὰ κ. ἀποθανόντες, *ef* διὰ κ. ἀποθνήσκοντες. [47] α, *d*. β–*d* read ἐν ζωῇ. [48] α, *def*. *abg*, A, S¹ read Ἰακώβ. [49] *g* reads Ἰακώβ. [50] *d* reads πενθήσονται. [51] I have bracketed this clause as an interpolation though found in α, β, S¹. It is omitted by A and is against the parallelism. *b* om. οἱ before ἁμαρτωλοί, and *g* reads κολασθήσονται for κλαύσονται. [52] α. β om. [53] *hi*, *d* add τούς. [54] A^{ab}. A^{hb*cdefg} = ὑπερηφανίᾳ. [55] A^{b} om. next line. [56] I do not see how this reading can have arisen. [57] A^{b} = τοῦ Ἰσραὴλ εὐλογήσουσιν.

XXVI. [1] *hi* read φυλάξασθε. [2] *hi*, *aef*, A^{ab}. *c* reads πάντοτε τόν, *bg* πάντα. *d*, A^{hb*cdefg} τόν. [3] *g* om. [4] *h* reads ὅς. [5] α. β, A read ἐλπὶς πᾶσι. [6] α. β, S¹ read κατευθύνουσιν. A = εὐθὺ περιπατοῦσιν a free rendering of β. The genitive αὐτοῦ that follows supports α, which = שׁוֹמרים of which מישׁרים = κατευθύνουσι is a corruption. But corruption may have originated in the Greek. [7] α, β–*b*. *b*, S¹ read τὴν ὁδὸν αὐτοῦ.

ὀδοὺς αὐτοῦ[7]. 2. *Καὶ ⌜εἶπεν αὐτοῖς ὅτι Ἰδοὺ ἐγὼ⌝[8] *ἑκατὸν *δέκα καὶ ὀκτὼ ἐτῶν[9] ἀποθνήσκω σήμερον[10].

aef ὅτι. β, A, S¹ σήμερον ἐν ὀφθαλμοῖς ὑμῶν.

α	β, A, S¹
3. Μηδείς[11] με ἐνταφιάσει ἐν πολυτελεῖ ἐσθῆτι, ἀλλὰ ἀναγάγετέ[12] με ἐν Χεβρών, ἔνθα καὶ οἱ πατέρες μου.	3. Μηδείς με ἐνταφιάσῃ[13] ⌜πολυτελεῖ[14] ἐσθῆτι⌝, ἢ *τὴν κοιλίαν μου ἀναρρήξει[15], ⌜ὅτι ταῦτα μέλλουσι ποιεῖν[16] *οἱ βασιλεύοντες[17]⌝, καὶ[18] ἀναγάγετέ με εἰς[19] Χεβρὼν *μεθ' ὑμῶν[20].
α, β, S¹	A
4. *Καὶ ταῦτα εἰπὼν ἐκοιμήθη[21] καὶ ἐποίησαν οἱ υἱοὶ αὐτοῦ κατὰ πάντα ὅσα[22] ἐνετείλατο αὐτοῖς, *καὶ ἔθαψαν[23] αὐτὸν[24] *μετὰ τῶν πατέρων αὐτοῦ[25] *ἐν Χεβρών[26].	4. *Καὶ ἐκοιμήθη Ἰούδας μετὰ πατέρων αὐτοῦ καὶ ἐποίησαν καθάπερ ἐνετείλατο αὐτοῖς[27].

β, S¹ ἐκοιμήθη Ἰούδας.

Διαθήκη Ἰσαχὰρ τοῦ πέμπτου υἱοῦ Ἰακὼβ καὶ Λείας[1].

I. Ἀντίγραφον λόγων Ἰσαχάρ. *Καλέσας γὰρ τοὺς υἱοὺς αὐτοῦ εἶπεν αὐτοῖς[2]·

A = κατ' αὐτόν. [8] α. *aefg* read καὶ εἶπεν ὅτι (*g* om.), *b*, S¹ καὶ εἶπε πρὸς αὐτούς. *d* om. [9] α. *aef* read ριθ´ (ρι´ καὶ ἐννέα *e*) ἐτῶν ἐγώ. *bg* δεκαεννέα ἐτῶν ἐγώ, *d* ριθ´ ἐτῶν σήμερον ἐγώ. A = καὶ νῦν (A^ab om.) ἐγὼ (A^ab*cdeg om.) ἑκατὸν δέκα καὶ ἐννέα (A^ab*cdeg ἐννέα καὶ δέκα). S¹ ἑκατὸν πεντήκοντα καὶ ἐννέα but the right number is given by S at end of ver. 4. [10] *d* trs. before ἐγώ. See last note. β, A, S¹ add as in margin. [11] *c* adds δεῖ. [12] *h* reads ἀνείλασθαι (sic). [13] *b*. α, *adefg* read ἐνταφιάσει. [14] *ade*. *bfg* read πολυτελῆ. [15] *bdefg* (save that *e* reads ἀναρρίξῃ and *b* ἀναρήξει), A. *a* reads ἀναρρήξοι τὴν κ. μου. [16] *d* reads ποιῆσαι. [17] *g* reads βασιλεῖς. [18] β–*d*. *d*, A read ἀλλά. [19] β–*d*. *d* reads ἐν. [20] *bdg*, A^ab*cdeg trs. before εἰς. *aef*, A^b, S¹ om. [21] α, β (save that *d* om. καί and β–*dg*, S¹ add Ἰούδας after ἐκοιμήθη, and *d* adds Ἰ. τοῖς υἱοῖς αὐτοῦ before it and ἐν εἰρήνῃ after it, while *g* adds Ἰ. before it). [22] α, *ab*. *efg* read ἅ. For κ. π. ὅσα *d* reads καθά. [23] *g* reads θάψαντες, *d* καὶ λαβόντες αὐτὸν ἔθαψαν αὐτόν. [24] β, S¹ add ἐν Χεβρών. [25] *g* om. [26] β, S¹ om. *f*, S¹ add Ἰούδας υἱὸς Ἰακὼβ δ´ υἱὸς Λίας δ´. καὶ (*f* om.) ἔζησεν ἔτη ριθ. [27] A^b. A^ab*cdefg read καὶ ἐποίησαν οὕτως (A^g om. ?) καθάπερ ἐνετείλατο αὐτοῖς καὶ ἐκοιμήθη Ἰούδας μετὰ πατέρων αὐτοῦ.

I. [1] Title. α in text. *bef*, S read Δ. Ἰ. περὶ ἁπλότητος (ἀγαθότητος *e*) (+ Ἰσαχὰρ ἑρμηνευεται μισθός *f*), *g* Δ. Ἰ. ε´, *a* Ἰσαχάρ. *d* is conflate: Δ. Ἰ. υἱὸς Ἰακὼβ καὶ Λίας ε´ περὶ ἁπλότητος. A^abcdef = Δ. Ἰ. (+ υἱοῦ Ἰακώβ A^c). [2] α.

ἀκούσατε[3] τέκνα[4] Ἰσαχὰρ τοῦ πατρὸς ὑμῶν[5]
β, A, S^1 ἐνωτίσασθε ῥήματα ἠγαπημένου[6] ὑπὸ Κυρίου.
γάρ. 2. *Ἐγὼ ἐτέχθην ⌜πέμπτος υἱὸς τῷ Ἰακὼβ⌝[7] ἐν μισθῷ τῶν
β-dg μανδραγόρων[8]. 3. Ῥουβὶμ[9] *γὰρ ⌜ὁ ἀδελφός μου⌝[10] ἤνεγκεν
ἔλαβεν. μανδραγόρους[11] *ἐκ τοῦ ἀγροῦ[12], καὶ[13] προσαπαντήσασα[14]
β, S^1 ἃ ποιεῖ ἡ *ἡ Ῥαχιὴλ[15] ⌜αὐτὸν⌝[16] ἔλαβεν[17] αὐτούς[18]. 4. Ἔκλαιε[19] δὲ
γῆ Ἀρὰμ ἐν ὕψει. ὁ[20] Ῥουβίμ[21], καὶ ἐπὶ τῇ φωνῇ αὐτοῦ ἐξῆλθεν[22] Λεία ἡ
β, A, S^1 μήτηρ μου[23].
ὅτι (A 5. *Ἦσαν δὲ ταῦτα μῆλα[24] εὔοσμα[25], *ἅπερ γίνονται[26]
ἀλλὰ) ἔσονταί *ἐν τῇ γῇ Χαράν[27] ὑποκάτω φάραγγος ὑδάτων. 6. Εἶπε
μοι. δὲ Ῥαχήλ· οὐ δώσω *σοι ταῦτα[28], *ἀλλ' ἵνα σχῶ ταῦτα[29]
β, A, S^1 ἀντὶ τέκνων· *παρεῖδε γάρ με ὁ Κύριος, καὶ τέκνα οὐκ ἐγέννησα
ἦσαν δὲ τὰ μῆλα τῷ Ἰακώβ. 7. Δύο οὖν ἦσαν τὰ μῆλα[30]. Καὶ εἶπεν ἡ[31]
δύο. Λία ⌜πρὸς Ῥαχήλ⌝[32]. *Ἱκανούσθω σοι[33] ὅτι ἔλαβες τὸν

β, S^1 (save that β, S^1 om. γάρ and *g* adds οὗτος before Καλ. and om. αὐτοῖς), and *d* adds πρὸ τοῦ ἀποθανεῖν αὐτόν before εἶπεν). A^{acf} = καὶ (οὓς A^{cf}) εἶπεν, A^b καὶ εἶπεν Ἰ. τοῖς υἱοῖς αὐτοῦ ἐν τῷ χρόνῳ τῆς τελευτῆς αὐτοῦ, A^{b*d} ὅτε ἔμελλε τελευτᾶν τὴν ζωὴν αὐτοῦ, ἐκάλεσε τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπεν. Probably the last five words belong to A^b also, but the notes are uncertain. [3] A^a = ἄκουσον. [4] *d* reads τεκνία. *h* adds μου. A^{ab*cdf} om. [5] *g* om. next line. [6] *ci*, *aef*, A. *h*, *d*, S^1 read ἠγαπημένα, *bg* ἠγαπημένοι. [7] α, β–*g*. *g* reads πέμπτος υἱὸς ἐτέχθην τῷ Ἰακώβ and then om. to end of Ch. II. A = ἐγὼ ἐτέχθην. [8] *c* writes μανδραγούρων and so elsewhere. [9] *b* reads Ἰακώβ. [10] α. β–*d*, A, S^1 read γάρ, *d* om. [11] *a* reads μανδραγόραν. [12] A = ἐκ τοῦ ἄκρου. [13] A adds πρῶτον. [14] *b* reads προαπαντ., *d* ἀπαντήσασα τοῦτον. [15] α. *adef* read Ῥαχήλ, *b* Ῥαχιήλ. [16] α. Cf. *d* in note 14. *abef*, A, S^1 om. [17] *f* reads ἀπέλαβεν. [18] *hi*, *bef*, S^1. *c* reads τοὺς μανδραγούρους, *a* αὐτήν, *d* αὐτὰ ἐξ αὐτοῦ. A^{ab} = ἐξ αὐτοῦ (+ τοὺς μανδραγόρους A^b. Cf. *d*), A^{b*d} ἐκ κόλπου αὐτοῦ, A^{cf} om. [19] *d* reads ἔκλαυσε. [20] α. β om. [21] *e* reads Ῥουβήν, *abf* Ῥουβήμ. [22] A = ἤκουσε. [23] α. β–*d*, S^1. *d* reads αὐτοῦ καὶ ἐμοῦ. A^{abcf} = αὐτοῦ. A^{b*d} om. A adds καὶ εἶπεν τῇ Ῥαχήλ. δὸς τοὺς μανδραγόρους. *d* adds καὶ εἶπεν αὐτῇ· ἵνα τί ἔλαβες τὰ μανδραγόρα τοῦ υἱοῦ μου; [24] α (save that *c* reads μύλα for μῆλα here and later). *a* reads αὕτη δὲ ἦν μῆλα, *bdef* ταῦτα δὲ ἦσαν μῆλα (ὡς μᾶλα *d*). A = καὶ ἦσαν οἱ μανδράγοροι μῆλα. [25] *aef*. α, *d* read εὔωσμα, *b* εὐώδημα. [26] α. *abd* read ἃ ἐποίει, *ef*, S^1 ἃ ποιεῖ. A = καὶ γίνονται. [27] α (save that *hi* reads Χαναάν). β, S^1 read ἡ γῆ Ἀράμ (Ἀράν *d*) ἐν ὕψει. A = ἐν τῇ ὕλῃ ἐν τῇ Ἀράμ, and om. next three words. [28] *c*. *hi*, *def* read σοι αὐτά, *ab*, A αὐτά σοι. [29] α. β, A, S^1 read ὅτι (A = ἀλλὰ) ἔσονταί μοι. [30] α (save that *hi* read μοι and ἐγένη for με and ἐγέννησα). β–*g*, A read ἦσαν δὲ τὰ (*b* om.) μῆλα (μῦλα (sic) *d*) δύο. A^b adds καὶ εἶπεν αὐτῇ. Σὺ υἱοὺς ἔχεις πολλούς, καὶ ἐγὼ οὐκ ἔχω καὶ εἶπεν. [31] α. β om. [32] α (save that *hi* read τὴν Ῥαχιήλ). β, A, S^1 om. [33] A = οὐκ ἔστιν ἱκανόν σοι. [34] *bd*, A add τῆς (*b*, A om.)

ἄνδρα[34] μου· μὴ καὶ ταῦτα[35] λήψῃ[36] ⌈ἀπ' ἐμοῦ⌉[37]; 8.
*Εἶπε δὲ αὐτῇ Ῥαχήλ[38]. Ἔστω[39] σοι ὁ[40] Ἰακὼβ *τῇ νυκτὶ
ταύτῃ[41] ἀντὶ τῶν μανδραγόρων ⌈*τοῦ υἱοῦ[42] σου⌉. 9. *Εἶπε
δὲ πρὸς αὐτὴν ἡ Λεία[43]. *ἐμός ἐστιν ὁ Ἰακώβ[44], *ὅτι ἐγώ εἰμι[45]
γυνὴ[46] νεότητος αὐτοῦ. 10. *Καὶ εἶπε Ῥαχήλ[47]. *Μὴ
καυχῶ μηδὲ δόξαζε σεαυτήν[48], *ὅτι ἐμὲ πρότερόν σου ἡρμόσατο[49],
καὶ *δι' ἐμὲ[50] ἐδούλευσε *τῷ πατρὶ ἡμῶν[51] *ἔτη δεκατέσσαρα[52].

α	β, A, S¹
11. *Καὶ εἰ μὴ ὁ δόλος ἐπλήθυνεν ἐπὶ τῆς γῆς καὶ ἡ πονηρία τῶν ἀνθρώπων ἐχώρησεν, οὐκ ἂν εἶ σὺ ὁρῶσα τὸ πρόσωπον τοῦ Ἰακώβ[53].	11. Τί σοι ποιήσω, ὅτι ἐπλήθυνεν ὁ δόλος ⌈καὶ ἡ πανουργία τῶν ἀνθρώπων καὶ ὁ δόλος προεχώρει⌉ ἐπὶ τῆς γῆς· εἰ δὲ μή, σὺ οὐκ ἂν ἦς ὁρῶσα πρ. Ἰ.

12. *Οὐ γὰρ γυνὴ αὐτοῦ εἶ σύ[54], ἀλλὰ[55] δόλῳ ἀντὶ ἐμοῦ
εἰσήχθης[56]. 13. *Καὶ ἐμὲ ἐπλάνησεν[57] ὁ πατήρ μου,

bd, A παρθενίας μου. β, A, S¹ Λία πρὸς αὐτήν· Μὴ καυχῶ μηδὲ δόξαζε σεαυτήν· ἐμὸς γάρ ἐστιν ὁ Ἰ. κἀγώ. β, S¹ ἡ δὲ Ῥαχὴλ εἶπε· Τί οὖν; ὅτι ἐμὲ προτέραν σου ἥρμοσται.

παρθενίας. [35] A = τοὺς μανδραγόρους. [36] *hi, ab. c, def* read λήψει. [37] α. β, A, S¹ om. [38] α (save that *hi* read ἡ Ῥαχιήλ). *abef*, A⁻ᵇ, S¹ read ἡ δὲ εἶπεν, *d*, Aᵇ εἶπε δὲ Ῥ. [39] α. *aef* read καὶ ἔστω, *bd*, A, S¹ ἰδοὺ ἔστω. [40] *c. i*, β om. [41] α. β reads τὴν νύκτα ταύτην. [42] *c* reads υἱῶν. [43] *h*, A. *c* om. *abdef* read εἶπε δὲ (καὶ εἶπεν *f*) Λία πρὸς αὐτήν. *abdef*, A add μὴ καυχῶ μηδὲ δόξαζε σεαυτόν (μηδὲ δοξάζου *d*, Aᵇ*ᵈ, καὶ μὴ δοξάζου *b*, Aᵇ). [44] *c. hi* read ἐμός ἐστιν Ἰ. *abdef*, A, S¹ read ἐμὸς γάρ ἐστιν ὁ (*de* om.) Ἰ. [45] α. β, A, S¹ read κἀγώ. [46] *hi* add ἐκ. [47] α (save that *h* reads Ῥαχιήλ). *abef*, A read ἡ δὲ Ῥ. εἶπε, *d* εἶπε δὲ Ῥ. [48] α (save that *c* reads μή for μηδε). This phrase has already appeared in β in the preceding verse. β, A read τί οὖν; [49] α (for ἡρμόσατο *c* gives the form εἱρμώσατο and for ἐμέ *hi* read ἐγώ). *abef*, A, S¹ read ὅτι ἐμὲ (ἐμοὶ *b*) προτέραν (πρῶτον *b*) σου (*b* om.) ἥρμοσται, *d* οὐχὶ πρῶτον ἐμέ σου ἥρμοσε; [50] Aᵃᵇ*ᶜᵈ trs. after ἐδούλευσε. [51] *i* reads τ. π. ὑμῶν, *d*, Aᵇ τῷ πατρί μου (+ Λαβαν Aᵇ). Aᵃᵇ*ᶜᵈ om. [52] *d* read ἔτι ἰδεῖν corrupt for ἔτη ιδ' (?). [53] α (save that for τὸ πρόσωπον τοῦ *h* reads πρώην πρόσωπον). β, A read τί σοι (σύ *e*) ποιήσω (Aᵇ*ᶜᵈ ἐποίησα), ὅτι ἐπλήθυνεν ὁ δόλος (+ σου A) ⌈καὶ ἡ πανουργία τῶν ἀνθρώπων καὶ ὁ δόλος (*a* om. preceding eight words through hmt.) προχωρεῖ⌉ (προσχωρεῖ *af*, προχοροῦσιν *d*) ἐπὶ τῆς γῆς; Εἰ δὲ μὴ (εἰ δὲ προεχώρουν *d*) σὺ οὐκ ἂν ἦς ὁρῶσα (οὐκ ἂν ἦς σὺ ὁρῶσα *be*, οὐ γὰρ οἶδες σὺ τὸ *d*) πρόσωπον Ἰ. For εἰ δὲ . . . Ἰακώβ A reads εἰ ἐν ἀληθείᾳ ὢν ἦσθα, οὐκ ἂν ἑώρας τὸ πρ. Ἰ. S¹ agrees with β save that for καὶ ὁ δόλος προχωρεῖ . . . εἰ δὲ μή it reads καὶ εἰ μὴ ὁ δόλος προεχώρει ἐπὶ τῆς γῆς. [54] α, β (save that *b* reads σὺ εἶ and *d* εἶ for εἶ σύ). A = γυνὴ γὰρ αὐτοῦ οὐκ ἦσθα. [55] α. β read ἀλλ' ἐν. [56] *ci, abef. h* reads εἰσῆλθες, *d* εἰσενέχθης αὐτῷ. Aᵃᵇ*ᶜᵈ read տուար = ἐδόθης (Aᵇ ետուր = ἔδωκας) αὐτῷ, but both these verbs may be corruptions of մտեր = εἰσῆλθες or εἰσήχθης. [57] α. *abef* read καὶ ἐπλάνησέ με

β, S^1 με ἰδεῖν, ὅτι εἰ ἤμην ἐκεῖ, οὐκ ἐγίνετο τοῦτο. β–d, S^1 καὶ εἶπε Ῥ. Λαβὲ ἕνα μανδραγόραν καὶ ἀντὶ τοῦ ἑνὸς ἐκμισθώσω σοι μίαν νύκτα. β ὅτι διέπτυσε.

*⌜καὶ μετέστησέ με τὴν νύκτα ἐκείνην⌝, καὶ[58] οὐκ εἴασε *⌜τῷ Ἰακὼβ ἰδεῖν με, ἐπεί⌝, ἐὰν ἤμην ἐκεῖ[59], *τοῦτο αὐτῷ οὐκ ἐγένετο[60].
14. *Ἀλλ' οὖν ἀντὶ τῶν μανδραγούρων ἐκμισθῶ σοι μίαν νύκτα τῷ Ἰακώβ[61].
15. *Ἔγνω δὲ Ἰακὼβ τῇ Λείᾳ[62], καὶ ⌜συλλαβοῦσα⌝ *ἔτεκεν ἐμέ[63], καὶ διὰ ⌜τοῦτον⌝[64] τὸν μισθὸν ἐκλήθην[65] Ἰσαχάρ.
II. Τότε ⌜οὖν⌝[1] ὤφθη τῷ[2] Ἰακὼβ[3] ⌜ἄγγελος Κυρίου λέγων⌝[4], *ὅτι τέκνα τέξει Ῥαχήλ[5], *ἐπειδὴ κατέπτυσεν[6] συνουσίαν[7] ἀνδρὸς καὶ ἐξελέξατο τὴν[8] ἐγκράτειαν.
2. Καὶ[9] εἰ

(a om.), d, A ἐπλάνησε γάρ με. A^f om. next nineteen words. [58] α. abdef, S^1 read καὶ μεταστήσας (καταστήσας d) με (a om.) τῇ νυκτὶ ἐκείνῃ (τὴν νύκτα ἐκείνην d). A om. [59] α. abef, S^1 read με ἰδεῖν ὅτι εἰ ἤμην ἐκεῖ, d με γνῶναί τοῦτο· λέγω γάρ σοι ὅτι εἰ ἤμην ἐκεῖ. A = ἐκεῖ (+ εἰ ἤμην ἐκεῖ A^b). [60] α (save that h om. αὐτῷ and i reads αὐτό). abdef, A, S^1 read οὐκ ἐγίνετο (+ σοι d) τοῦτο (+ οὕτως A). [61] α. abef, S^1 read (corruptly) καὶ εἶπε Ῥ. Λαβὲ ἕνα (a μίαν) μανδραγόραν (μανδράγουρον f) καὶ ἀντὶ τοῦ ἑνὸς (ἀντὶ ταύτης a) ἐκμισθώσω (ἐκμισθῶ bf, S^1) σοι (+ αὐτόν b) μίαν νύκτα (ἐν μιᾷ νυκτί b), d καὶ ἔρρηψεν αὐτῇ τὸ ἓν μανδράγουρον καὶ εἶπεν αὐτῇ· λαβὲ τὸ ἓν καὶ ἀντὶ τὸ ἓν ἔχε τὸν Ἰ. τὴν νύκτα ταύτην. A^{ab} = Λαβὲ εἶπεν (ἕνα A^b) τῶν μανδραγόρων (+ καὶ τὸν ἕνα A^b) καὶ ἀντὶ τοῦ ἕνος ἐκμισθώσω σοι Ἰακὼβ ἐν τῇ νυκτὶ (= ταύτῃ A^b). A^{b*cdf} = καὶ προσέθηκε Ῥαχὴλ λαλεῖν καὶ εἶπεν. Ἕνα τῶν μανδραγόρων λήψομαι, καὶ ἀντὶ τοῦ ἑνὸς ἐκμισθώσω σοι ἐν τῇ νυκτί. [62] α. β–d read ἔγνω Ἰ. τὴν Λίαν, d ἔγνω Ἰ. τῇ νυκτὶ ἐκείνῃ. A = καὶ εἰσῆλθε Ἰ. πρὸς τὴν Λίαν (+ ἐν ἐκείνῃ τῇ νυκτί A^b). [63] α, df, A^{ab*cd} (adding αὐτῷ). abe read με (a om.) ἔτεκε. A^b = ἐγέννησε Ἰ. με ἐκ Λίας. [64] α. abdef, A, S^1 om. [65] c reads ἐκλήθη.

II. [1] α. β, A, S^1 om. Before the beginning of the chapter d adds: καὶ πάλιν ἔωθεν ἀντέστρεψε Λίαν καὶ τὸ ἕτερον μανδράγορον εἰποῦσα τῇ Ῥαχήλ. Λαβὲ τοῦτο καὶ ἐκμισθοῦμαι αὐτὸν καὶ τῇ νυκτὶ ταύτῃ. καὶ ἔλαβε τὰ δύο μῆλα Ῥαχήλ, καὶ δέδωκεν αὐτὴ τὸν Ἰακὼβ καὶ τῇ ἄλλῃ νυκτί. [2] d om. [3] hi read πατρί μου. [4] α, b, S^1. aef read ἄγγελος, d ἄγγελος κυρίου καὶ εἶπεν. A om. [5] α (save that hi read Ῥαχιήλ). abef read ὅτι δύο (aef om.) τέκνα Ῥαχὴλ τέξεται. d om. A^{abb*cd} = ὅτι διὰ τοῦτο ἔτεκεν Ῥαχὴλ δύο τέκνα. [6] α. β reads ὅτι διέπτυσε (+ Ῥαχήλ d). A^b is very corrupt and for ἐπειδὴ . . . ἐγκράτειαν gives ἐπειδὴ κατέπτυσε συνουσίαν ἀνδρός, ἔδωκε αὐτῇ ἐν μισθῷ ἑνὸς μανδραγόρου καὶ καταφρονήσει ἡρμόσατο (?) καὶ ἐξελέξατο ἐγκράτειαν. A^{-b} agrees with α, β. [7] d reads συνουσίας. [8] α. β om. [9] Verses 2–4 appear confusedly in d as follows: 2. Τούτου ἕνεκε δύο τέκνα τέξεται, ὅτι ἐν τοῖς μανδραγόροις ἐπεσκέψατο αὐτὴν ὁ Κύριος. 3. οἶδε γὰρ ὅτι διὰ τέκνα ἤθελεν συνεῖναι τῷ Ἰακὼβ καὶ οὐ διὰ φιληδονίαν. 2. καὶ γὰρ εἰ μὴ Λίαν ἡ μήτηρ μου ἀντὶ συνουσίας ἀπέδωτο τὰ δύο μᾶλα, ὀκτὼ υἱοὺς εἶχε τεκεῖν. διὰ τοῦτο ἔτεκεν ἕξ, τοὺς δὲ δύο ἔτεκεν ἡ Ῥαχήλ.

μὴ Λεία[10] ἡ μήτηρ μου ἀντὶ συνουσίας ἀπέδοτο[11] τὰ δύο μῆλα, [ἔτι][12] ὀκτὼ υἱοὺς ἔμελλε[13] τεκεῖν· διὰ τοῦτο ἓξ ἔτεκε, *καὶ 'Ραχὴλ τέτοκε τοὺς δύο[14] ὅτι ἐν *τοῖς μανδραγόροις[15] ἐπεσκέψατο αὐτὴν[16] ὁ[17] Κύριος. 3. Εἶδε[18] γὰρ ὅτι διὰ τέκνα ἤθελεν συνεῖναι *τῷ 'Ιακώβ[19], καὶ οὐ διὰ φιληδονίαν.

α, β	Aab*cdf
4. Προσθεῖσα[20] γὰρ καὶ[21] τῇ ἐπαύριον ἀπέδωκε[22] τὸν 'Ιακώβ[23]. 'Εν *τοῖς μανδραγόροις[15] οὖν[24] ἐπήκουσε Κύριος[25] τῇ[26] 'Ραχήλ[27].	4. *Καὶ τῇ ἐπαύριον προσθεῖσα ἀπῄτησε 'Ιακὼβ ἵνα λάβῃ ἔτι ἄλλον μανδραγόρον[28].

5. Ὅτι καί γε ποθήσασα τούτους[29] οὐκ ἔφαγεν[30], ἀλλὰ ἀνέθηκεν[31] ταῦτα[32] ἐν οἴκῳ Κυρίου[33], προσάξασα[34] τῷ ἱερεῖ[35] τῷ ὄντι[36] ἐν τῷ *τότε χρόνῳ[37].

III. *Ὅτε οὖν[1] ἡδρύνθην[2] ἐγὼ[3], *τέκνα μου[4], ἐπορεύθην[5] ἐν *εὐθύτητι καρδίας[6], *καὶ ἐγενόμην[7] γεωργὸς *τῷ πατρί μου καὶ τοῖς ἀδελφοῖς μου[8], καὶ ἔφερον καρποὺς[9] ἐξ[10] ἀγρῶν[11].

β, A, S¹ εἶχε. β-d, Aab*cdf, S¹ τοὺς δὲ δύο (+ ἡ e) 'Ραχήλ. β-dg, S¹ 'Ιακώβ, ἵνα λάβῃ καὶ τὸν ἄλλον μανδραγόραν. β, Aab*cdf, S¹ ἱερεῖ ὑψίστου. β καιρῷ ἐκείνῳ. β-d, S¹ τῶν πατέρων μου καὶ τῶν ἀδελφῶν μου. β-af, A, S¹ ἀγρῶν κατὰ καιρὸν αὐτῶν.

4. ἐν τοῖς μανδραγόροις .ἐπήκουσε Κύριος τὴν 'Ραχήλ. [10] α. β reads Λία. [11] h, af (a trs. before ἀντί). ci, e read ἀπέδωτο, b ἀπέδω. [12] α (save that ci read ἔτη). β, A om. [13] α. abef, A read εἶχε, d ἔσχε. [14] α (save that c reads 'Ραχηὴλ καί). abef, A^{ab*cd} read as in margin. A^b is very corrupt: ἡ ἔλαβεν τὰ μῆλα καὶ οὐ συνουσίας γάμον καὶ τὰ δύο τέκνα 'Ραχὴλ ἔτεκεν. [15] a reads ταῖς μανδραγόραις. [16] i reads ταύτην, e αὐτῇ. A^b = τὴν 'Ραχήλ. [17] α, aef. b om. [18] d reads οἶδε. [19] A^{ab*cdf} = τῷ ἀνδρὶ αὐτῆς, A^b 'Ραχὴλ τῷ 'Ιακώβ. [20] b reads προσθῆσα. [21] h om. [22] α. abf read ἀπέδοτο, e ἀπέδωτο. [23] abef, S¹ add as in margin, save that for τ. α. μανδραγόραν b reads τ. α. μανδραγόρα, f τ. α. μανδράγουρον, and a τὴν ἄλλην μανδραγόραν. After μανδραγόραν b, S¹ add διὰ τοῦτο. [24] aef. α reads καί. bd om. [25] e reads ὁ K. and trs. after 'P. [26] b reads τῆς, d τήν. [27] c reads 'Ραχηήλ, h 'Ραχιήλ. [28] A^b is very corrupt and reads καὶ Λία ἡ μήτηρ μου τῇ ἐπαύριον προσθεῖσα ἀπῄτησε 'Ιακώβ, ἐπιπόθησις γὰρ ἦν ἐν αὐτῇ καὶ οὐ διὰ τόκον. καὶ ἔλαβεν 'Ραχὴλ ἔτι ἄλλον μανδράγορον. [29] hi. c reads τούτοις, a αὐτάς, bdef, A αὐτούς. A^b = υἱούς. [30] A^b adds 'Ραχὴλ τὰ μῆλα. [31] d reads ἐνέθηκεν. A^b = ἔδωκεν. [32] α. adef, A^b read αὐτά, b αὐτούς. A^{ab*cd} om. [33] A^b adds Θεοῦ. A adds καί. [34] α. bde, S¹ read προσενέγκασα, af προσενεγκοῦσα. A = either reading. [35] A = ἀρχιερεῖ. β, A^{ab*cdf}, S¹ add ὑψίστου, A^b Θεοῦ ὑψίστου. [36] A^b adds ἀρχιερεῖ. [37] β reads as in margin. A^b adds καὶ εὐλόγησε 'Ραχὴλ ἐν δυοῖν υἱοῖς.

III. [1] d adds ἐγώ. g reads καὶ ὅτε. A = ἀλλὰ ὅτε. [2] hi, df read ἠνδρ. [3] α. β, A om. [4] g om. [5] α, A. β reads ἐπορευόμην. [6] A^{b*} = εὐθείᾳ καρδίᾳ. d adds μου. [7] A = γενόμενος. [8] α, A (save that A adds

2. ⌜*Καὶ ηὐλόγει με ὁ πατήρ μου βλέπων με[12] *ὅτι ἐν
ἁπλότητι πορεύομαι[13] *ἔμπροσθεν αὐτοῦ[14]⌝. 3. *Καὶ οὐκ
εἰμὶ[15] περίεργος *ἐν ταῖς πράξεσίν μου[16], ⌜οὐδὲ φθονερὸς[17]
καὶ[18] βάσκανος *τῷ πλησίον μου[19]. 4. *Οὐ κατελάλησά
τινος πώποτε[20], οὐδὲ[21] ἔψεξα[22] βίον ἀνθρώπου⌝[23]. 5.
Τριάκοντα ⌜καὶ πέντε⌝[24] ἐτῶν ἔλαβον[25] ἐμαυτῷ[26] γυναῖκα[27],
ὅτι ὁ κάματος κατήσθιε τὴν ἰσχύν[28] μου[29], καὶ οὐκ ἐνενόουν[30]
ἡδονὴν[31] γυναικός, ⌜ἀλλὰ διὰ τοῦ κόπου[32] ὁ ὕπνος μοι[33] περι-
εγένετο[34]⌝. 6. Καὶ ἔχαιρε ⌜πάντοτε⌝[35] ἐπὶ τῇ ἁπλότητί
μου *ὁ πατήρ μου[36] ⌜διότι[37] καὶ *πᾶν πρῶτον γέννημα[38]
*διὰ τοῦ ἱερέως[39] τῷ[40] Κυρίῳ[41] προσέφερον[42], ἔπειτα καὶ[43] τῷ
πατρί μου[44]. 7. Καὶ ὁ[45] Κύριος ἐμυριοπλασίασε[46] τὰ ἀγαθὰ

β–a, A, S^1 ἤμην. β–g, S^1 ἀνθρώπου, πορευόμενος ἐν ἁπλότητι ὀφθαλμῶν· 5. διὰ τοῦτο. β, S^1 εἴ τι γὰρ ἔκαμνον πᾶσαν ὀπώραν. β, S^1 μου, καὶ τότε ἐγώ. β ἐδιπλασίαζε τὰ ἀγαθά.

Ἄκουε, ὦ Ἰουδαῖε, ὅτι λέγει ὁ Συμεών, ἑώρακα γὰρ ἐν λόγοις βιβλίων Ἐνώχ, ὅτι υἱοὶ ὑμῶν μεθ' ὑμῶν ἐν πορνείᾳ φθαρήσονται. ὡς οὐκ εἰδότες τὸν υἱὸν τοῦ θεοῦ καὶ διαφθαρέντες ἐν τοῖς ἔθνεσιν ἐν Λευὶ ἀδικήσουσιν, τοῦτο ἐστί. ὁ Χριστὸς Ἰησοῦς ἀρχιερεὺς ἐστὶ κατὰ τὸν Λευιτικόν, αὐτὸν οἱ Ἰουδαῖοι ἐκέντησαν λόγχῃ. Ἀλλ' οὐ δυνήσονται πρὸς Λευὶ ὅτι πόλεμον Κυρίου πολεμήσει. Ὁμολόγει, Ἰουδαῖε, πρόσεχε τῷ πολέμῳ Κυρίου, ὅτι τῷ Κυρίῳ ἀνθίσταντο, καὶ ἀνθιστάμενοι τῷ σταυρῷ ἐγομφώσατε πάσχοντα κατὰ βούλησιν αὐτὸν ἐν μνημείῳ σφραγίσαντες ἐθήκατε, ἀλλὰ τῆς σφραγῖδος ὅλης σωζομένης ἀνεγέρθη ἐκ τοῦ μνημείου ἄνευ διαφθορᾶς, ἀλλ' οὐκ ἐδυνήθη (repetition) κατέχειν τὸ θεῖον τὸ μνημεῖον ἐσφραγισμένον. ἀλλ' ὥσπερ ὁ πατὴρ Ἰακὼβ προφητεύσας εὐλόγησε οὐκ ἦν αὐτοῖς εὐλογεῖν τὰ ἔθνη. καὶ προσέθηκεν ὁ Συμεὼν εἰπεῖν τοῖς υἱοῖς, τοῦτο ἐστί, ἐλευθεροῦν τὰς ψυχὰς ὑμῶν ἀπὸ τῶν ἁμαρτιῶν, καὶ ἰδοὺ ὁ Συμεὼν προφητεύει καὶ λέγει περὶ τῆς ἀφίξεως τοῦ υἱοῦ τούτῳ καθαίρει τὴν ψυχὴν αὐτοῦ ἀπὸ τῆς πονηρᾶς πράξεως τῆς γενεᾶς τῶν Ἑβραίων, εἰ ἀφαιρήσετε· καὶ ἐκώλυσεν Συμεὼν τοὺς υἱοὺς αὐτοῦ ὥστε ἀποτρέπειν ἀπὸ φθόνου καὶ ὑπερηφανίας ἀλλ' οὐκ ἠδύνατο κωλύειν, καὶ γὰρ τότε ὁ Ἰουδαῖος ἐπληρώθη φθόνου καὶ ὑπερηφανίας καὶ δήσαντες τὸν Ἰησοῦν ἤγαγον αὐτὸν πρὸς τὸν Πιλάτον πρὸς τὴν κρίσιν. καὶ ὁ Πιλάτος εἶπεν, οὐχ εὗρον ἐν αὐτῷ οὐδεμίαν αἰτίαν, ὁ δὲ Συμεὼν εἶπεν, εἴπερ ἀποτρέπεσθε ἀπὸ φθόνου καὶ ὑπερηφανίας τότε ὥσπερ ῥόδον ἐμὰ ὀστέα ἀνθήσει ἐν Ἰσραὴλ καὶ ὥσπερ κρίνον σὰρξ ἐμὴ ἐν Ἰακὼβ καὶ ὀσμή μου ἔσται θαυμασία ὀσμή, καὶ πληθυνθήσεται ὥσπερ ἁγία κέδρος. ἡ γὰρ κέδρος ἁγία ὀνομάζεται ἢ ποῦ πρόσθεν δένδρον ἁγιάζεται; ἀλλὰ τοῖς ὀφθαλμοῖς τῆς σοφίας οἱ μεγάλοι πατριάρχαι εἶδον, ὡς ὁ Ἰησοῦς Χριστὸς ἦν ὁ υἱὸς τοῦ θεοῦ, σταυρωθῆναι ἐν κυπαρίσσῳ καὶ ἐν πεύκῃ καὶ ἐν κέδρῳ. καὶ τούτου ἕνεκα ἡ κέδρος ἁγία ὀνομάζεται, καὶ πρὸς τούτοις ὁ λόγος μου εἰς τοὺς αἰῶνας. τοῦτο ἐστὶ ἡ προφητεία περὶ τοῦ Χριστοῦ ἕως τῆς τελειώσεως τῶν κλάδων αὐτῶν καὶ μακροὶ ἔσονται. τοῦτο ἔστι· τὸ ὄνομα τοῦ Χριστοῦ παρατενεῖται ἐν τοῖς ἔθνεσιν. καὶ τότε ἔσται σημεῖον, ὅταν ὁ μέγας Κύριος φαίνηται ἐπὶ τῇ γῇ ὡς ἄνθρωπος σώζων τὸν Ἀδάμ. Ὅρα, πῶς ἑαυτῷ σώσει τὸν Ἀδάμ; ὅτι Ἀδὰμ ἦν πρῶτος ἄνθρωπος, καὶ ἔπεσεν παραβαίνων τὴν ἐντολὴν τοῦ Θεοῦ. καὶ ἕνεκα τούτου ὁ Θεὸς ἄνθρωπος ἐγένετο, λαβὼν τὴν σάρκα ἀπὸ παρθένου, ἑαυτὸς σώζων τὴν φύσιν καὶ τὸν ἄνθρωπον, καὶ τὸν Ἀδὰμ ἐγείρει καὶ τότε (εἶπεν) πάντα τὰ πνεύματα τῆς πλάνης δοθήσονται αὐτῷ εἰς πάτημα καὶ ἄνθρωποι ἄρξονται κατακυριεύειν τῶν

πονηρῶν πνευμάτων. καὶ ἐπὶ τῇ ἀναλήψει τοῦ Κυρίου ἔπεμψεν τὸ ἅγιον αὐτῷ πνεῦμα ἐπὶ τοῖς ἁγίοις ἀγγέλοις καὶ ἔδωκεν αὐτοῖς ἐξουσίαν καὶ δύναμιν, καὶ τοῖς λόγοις τοῦ Κυρίου ἐλαύνουσι πνεύματα τῆς πλάνης καὶ ἡμεῖς ἕως σήμερον ἔχουσα τὰ ἅγια ὀστέα ἐν ταῖς χερσὶ ἐτητύμως ὀσμὴ ἀκαθάρτων ψυχῶν καὶ ὁ καπνὸς ἀποφθίνει. Τότε ἐγὼ ἐγεροῦμαι ἐν χαρᾷ καὶ εὐλογήσω τὸν ὕψιστον ἀπὸ τῶν θαυμἄτων αὐτοῦ. Ὁρᾶτε τὴν φωνὴν τῆς ἰσχύος ὅτι τοῦ Κυρίου σταυρουμένου ἡ γῆ ἐτινάσσετο καὶ τὰ μνημεῖα ἀνεῴχθη καὶ οἱ νεκροὶ ἀνίσταντο καὶ εὐλόγησαν τὸν ὕψιστον ἀπὸ τῶν θαυμάτων αὐτοῦ πάντες. ὡς εἶπεν ὁ Θεός, ὁ σωτὴρ τοῦ ἀνθρώπου ἔχων τὴν σάρκα καὶ ἐσθίων σὺν τοῖς ἀνθρώποις.

After T. Lev. vii. 4 adds:—

Ἐννόει δὲ σὺ τὴν φροντίδα, ὦ Ἰουδαῖε, καὶ εἴσελθε εἰς τὴν ὄψιν τοῦ Λευὶ ὡς τὸν ἄγγελον θαυμάτων ἀπὸ τῶν οὐρανῶν. καὶ αὐτῷ ὁ ἄγγελος εἶπε, σὺ ἐγγὺς τοῦ Κυρίου στήσει καὶ ἔσει ὁ ὑπηρέτης αὐτοῦ καὶ ἀποκηρύξεις τὰ μυστήρια τοῖς ἀνθρώποις. καὶ περὶ τοῦ θέλοντος σώζειν τὸν Ἰσραήλ. Καὶ οὕτως οὐκ ἐννοεῖς, ὦ Ἰουδαῖε, τοῦ ἀγγέλου τοῦ Θεοῦ προφητεύοντος τοῖς πατράσιν ὑμῶν περὶ τῆς σωτηρίας Ἰσραήλ, οὐ γὰρ τὸ ῥῆμά σοι ἐφάνη, ὅτι ἀπὸ τοῦ Ἰούδα σώσει ὁ Κύριος πᾶν τὸ γένος ἀνθρώπων. Ἐννόει γάρ, ὦ ταλαίπωρε, ὅτι οὔτε ἄγγελος οὔτε ἄνθρωπος μεσιτεύεται ἀλλὰ ὁ Θεὸς αὐτὸς σώζει ἡμᾶς, ἰδοὺ γὰρ ὡς ἐν πρώτοις εἴπομέν σοι, ὡς ἀπὸ τῆς γενεᾶς Ἰούδα ὁ Κύριος γίγνεται ἐκ τῆς παρθένου Μαρίας καὶ Λευὶ ἦν Λευίτης, καὶ κατὰ τὸν πρῶτον νόμον ἦν ἱερεύς, ὥστε καθαρίζειν τὰς ἁμαρτίας τοῦ λαοῦ, καὶ διὰ τοῦτο ἦν ἱερεὺς ὅτι ὁ ἄγγελος εἶπε τῷ Λευί, ἐκ σοῦ καὶ ἐξ Ἰούδα ὁ Κύριος φανήσεται τοῖς ἀνθρώποις σώζων καὶ φέρων πᾶν τὸ γένος ἀνθρώπων ἄνευ αἵματος. Ἐννόει γὰρ ὡς οἱ ἄγγελοι τοῦ Θεοῦ ἐν τῇ λατρείᾳ τῷ Θεῷ προσφέρουσιν οὔτε τὸ αἷμα τῶν μόσχων οὔτε τὸ αἷμα τῶν τράγων ἀλλὰ χάριν τῷ Κυρίῳ πέμπουσιν τῆς καθαρᾶς λατρείας. καὶ οὕτως ἡμεῖς οἱ Χριστιανοὶ πέμπουσιν τῷ Κυρίῳ τὸ σῶμα καὶ τὸ αἷμα ὡς καθαρὰν λατρείαν κατὰ τὴν τάξιν τοῦ Μελχισεδέκ. Ἐννόει γὰρ περὶ τούτου ἄλλου καὶ πείθου ὡς ὁ Κύριος ποιεῖ κρίσιν περὶ τούτων τῶν ἀνθρώπων. περὶ ὑμῶν δέ, ὦ ταλαίπωροι, οὐ ποιεῖ κρίσιν ἐν τῷ πυρὶ τῷ ἀσβέστῳ καὶ τῷ σκώληκι ἀκοιμήτῳ καὶ παρασκευάζων ὑμᾶς ὡς πέτρας διασκορπίζων. ἐπεὶ γὰρ τὸν Κύριον προσηλώσατε, καὶ ὁ ἥλιος ἐσβέσθη τότε οὐχ ὁ ἥλιος ἐσβέσθη; ὅτε γὰρ ὑμεῖς τὸν κύριον ἐσταυρώσατε, ὡς τὸ εὐαγγέλιον λέγει, τότε γὰρ σκότος ἦν ἐπὶ πᾶσαν τὴν γῆν ἀπὸ τρίτης ὥρας ἕως ἐννάτης τῶν ὑδάτων ξηραινομένων καὶ τοῦ Ἅιδου αἰχμαλωτιζομένου. λέγε δέ μοι, εἰ ὁ Ἅιδης

ᾐχμαλωτίσθη, εἰ πολέμιοι ὡπλισμένοι εἰς τὸν ῞Ἀδην εἰσῆλθον ἀλλ᾽ ὁ θεὸς αὐτὸς ὅτε ἔκειτο ἐν τῷ μνημείῳ, τότε γὰρ εἰσῆλθεν εἰς τὸν ῞Ἀδην ἐλευθερῶν τὸν ᾽Αδὰμ τὸν πρῶτον κλητὸν ἀπὸ τοῦ δεσμωτηρίου τοῦ ῞Ἀδου, ἦν γὰρ ὁ Κύριος τῆς γῆς καὶ τῆς ἀβύσσου, καὶ ἕνεκα τούτου ἦλθε ὥστε αἰχμαλωτίζειν τὸν ῞Αδην. Εἰ γὰρ ἔπαθεν, ἡ θειότης αὐτοῦ ἦν ἄνευ πάθους.

Καὶ, ἰδού, εἶπεν Λευί, ὅτε ἐγερθέντες ἤλθομεν εἰς Βεθήλ.

After viii. 4 adds:—

τοῦτό ἐστι ἐλαίῳ ἁγίῳ ᾧ χρίονται Χριστιανοὶ στάντες ἐν τῇ ἁγίᾳ κολυμβήθρᾳ βαπτισμῷ. τότε ἁγιάζονται τῷ κυρίῳ καὶ δέχονται τὸν αἰώνιον βίον.

In viii. 5 after ἔλουσέ με ὕδατι καθαρῷ adds:—

τοῦτό ἐστι τῷ τριπλῷ βαπτισμῷ ἐν τῷ ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος.

and after ἄρτον καὶ οἶνον ἅγια ἁγίων adds:—

τοῦτό ἐστι τὴν ἁγίαν εὐχαριστίαν ἐν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ.

and at close of verse:—

τοῦτό ἐστι τὸ σημεῖον τοῦ ἁγίου βαπτισμοῦ· τοῦτο γὰρ τὸ ἱμάτιον οἱ ἄγγελοι ἐπουράνιοι ἰδόντες ἠγαλλιάσαντο· ἰδόντες γὰρ τοῦτο τὸ ἱμάτιον ταύτην τὴν στολὴν ἔνδοξον νικῶσιν τὰς στρατιὰς τῶν δαιμόνων.

After viii. 6 adds:—

καὶ οὕτως ἐκ χρόνου καὶ οὐκ εἰς ἀεὶ ἐδόθη μοι ἱερατεύειν. τοῦτό ἐστι, ὅτι μόνος ἦν εἰς τοὺς αἰῶνας καὶ εἰς τοὺς αἰῶνας μένει ὁ ᾽Ιησοῦς ὁ θεὸς ἱερατεύειν κατὰ τὴν τάξιν τοῦ Μελχισεδέκ.

After viii. 8 adds:—

τοῦτό ἐστι λόγων εὐαγγελικῶν καὶ ἀποστολικῶν· ἀκούοντες γὰρ οἱ ἅγιοι μάρτυρες ἐγέρθησαν ἐπὶ τὴν στρατιὰν τοῦ πολεμίου.

After viii. 9 adds:—

διὰ τοῦτο γὰρ οἱ μάρτυρες ἐγέρθησαν καὶ ἐστεφανώθησαν ἐν τῇ ὀρθῇ πίστει.

After viii. 12 adds:—

τὶς προσελθὼν ἀλλ᾽ οὐ γενήσεται ὁ λεγόμενος ὑπὸ τοῦ ᾽Ιωάννου τοῦ βαπτιστοῦ, ὅστις ἦν ἀπὸ τῆς γενεᾶς τῶν ἱερέων· ἔσται δὲ ἀπὸ ἄλλης

τινὸς μαθείας, ὅτι ἡ σωτηρία τοῦ κόσμου λέγεται εἶναι ἀπὸ τοῦ Χριστοῦ Ἰησοῦ.

After viii. 19 adds:—

Ἐννόει δέ, ὦ ταλαίπωρε Ἰουδαῖε, ὡς καὶ σοὶ ἐγένετο ἡ ὄψις τοῦ Λευὶ καὶ ἡ ἐνσωμάτωσις καὶ τὸ πάθημα τοῦ υἱοῦ τοῦ Θεοῦ, ἐγὼ σοὶ λέγω.

After πλανῶντες τὸν Ἰσραήλ in x. 2 adds:—

Τί προσδοκᾳς, ὦ Ἰουδαῖε, τίνα δε μένεις ἐρχόμενον τοῦ Λευὶ λέγοντος ὡς οὐκ ἐπιστεύσατε ἐν τῷ σωτῆρι τοῦ κόσμου καὶ πλανῶντες αὐτόν;

After x. 5 adds:—

ὃς γὰρ οὐ προσέχει τοῖς λόγοις μου ὁ Κύριος επ . . . . ται ἐπ' ἐμὲ πῦρ αἰώνιον.

After xix. 12 T. Joseph adds:—

Ἀκούσατε γάρ, Ἰούδαῖοι, ὅτι δηλοῖ τὸ ἐνύπνιον, εἶδε γὰρ δώδεκα ἐλάφους νεμομένους. οὗτοι δὲ ἔλαφοί εἰσι δώδεκα ἀπόστολοι, ἀγγέλλοντες θαύματα ἐν τῷ κόσμῳ, καὶ ἐννέα αὐτῶν, φησί, διεσπάρησαν ἐν ὅλῃ τῇ γῇ, διδάσκοντες καὶ βαπτίζοντες ἐν τῷ ὀνόματι τοῦ πατέρος καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· ὁμοίως, φησί, οἱ τρεῖς. Οἱ τρεῖς ἐκήρυσσον καὶ ἀπέθανον οὐ λείψαντες τὸ Ἱεροσόλυμα. Ὡς ἡ γραφὴ λέγει, ὡς ὑπὸ τοῦ Ἡρώδου, τοῦ ἀνόμου, Ἰακὼβ ἀδελφὸς τοῦ Ἰωάννου ἐκτάνθη τῷ ξίφει καὶ οὕτως ὁ Στέφανος καλούμενος ὁ πρῶτος τῶν μαρτύρων ὑπὸ τῶν Ἰουδαίων κατεφονεύθη πέτροις, ὅστις ἐκοιμήθη λέγων· Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην, οὐκ οἴδασι γὰρ ὅ τι ποιοῦσιν. Ὁράω, φησί, ὅτι ἐξῆλθε παρθένος ἐξ Ἰούδα, τοῦτό ἐστι ἡ ἁγία παρθένος (ἡ μήτηρ τοῦ Θεοῦ) ἐκ τοῦ γένους τοῦ Ἰούδα ἡ θυγάτηρ τοῦ Ἰωαχίμ, ἔχουσα ἐσθῆτα βυσσίνην. τοῦτο ἐστὶ οὐ μιανθεῖσα οὐδὲ ὑβρισθεῖσα (?), ἀλλὰ καθαρὰ καὶ σφόδρα καθαρὰ ἐξ ἧς ἦλθεν ὁ ἀμνὸς ἄτερ κακίας, τοῦτο ἐστὶν ὁ υἱὸς τοῦ Θεοῦ αἰδήμων, ταπεινὸς ἄνευ λοιδορίας, ἄνευ κακίας ὅλως ἄνευ ἁμαρτίας, καὶ ἐπὶ τῇ ἀριστερᾷ ὥσπερ λέων, φησί, καὶ γὰρ ὁ λόγος τῆς θεότητος αὐτοῦ μέγας καὶ δεινὸς καὶ ἰσχυρὸς καὶ εὔγνωστος, καὶ πάντα τὰ θηρία ὥρμων κατ' αὐτόν, φησί. τοῦτό ἐστι, ὑμεῖς κατάρατοι Ἰουδαῖοι, ἑωρᾶτε τὸν υἱὸν τοῦ Θεοῦ λαμβάνοντα ταπεινὸν ὄψιν, καὶ πάντα τὰ ἄγρια θηρία ὥρμων κατ' αὐτὸν λέγοντες Λαβὲ λαβὲ σταυρώσατε, τὸ αἷμα αὐτοῦ ἐφ' ἡμῖν καὶ ἐπὶ τοῖς τέκνοις ἡμῶν. ἐνίκησεν αὐτούς, φησί, ὁ ἀμνός· τοῦτο ἐστὶ, ὁ υἱὸς τοῦ Θεοῦ ἐξεγέρθη ἀπὸ τῶν νεκρῶν. ὑμεῖς δὲ [ ] τῶν κακῶς πεπραγμένων ἐμνήσθητε καὶ ἀπωλέσατε αὐτὰ εἰς καταπάτησιν· τοῦτό

ἐστι, δώσει ὑμᾶς εἰς δουλείαν εἰς τὰ ἔθνη καὶ ἔσεσθε καταπατούμενοι ἕως τοῦ νῦν ἐν τῇ γῇ ὑμῶν. Καὶ ἔχαιρον, φησί, ἐν αὐτῷ οἱ ἄγγελοι καὶ οἱ ἄνθρωποι, καὶ πᾶσα ἡ γῆ. ὁ Κύριος ὁ Θεὸς ἡμῶν, βασιλεὺς τῶν οὐρανῶν καὶ τῆς γῆς, τὰ ὕψιστα καὶ τὰ νέρτερα εἰς μίαν εὐδαιμονίαν τοῦ εὐλογισμοῦ συναγερεῖ. Ταῦτα δὲ γενήσεται ἐν καιρῷ αὐτῶν. Ἰακὼβ γὰρ ἦν τριῶν καὶ ἑπτὰ χʹ ἐτῶν καὶ υἱὸς τοῦ Θεοῦ ἐγενήθη ἐννέα ἐτῶν καὶ ἐχαρήσαν ἐπ᾽ αὐτῷ ἐν ἐσχάταις ἡμέραις, τοῦτό ἐστι, ἡ ἀρχὴ καὶ τὸ τέλος. Ἐν τῷ πρώτῳ ἦλθεν ἐκ τοῦ μὴ γενέσθαι εἰς τὸ γενέσθαι. περὶ τούτου ἔλεγον οἱ προφῆται. Καὶ ἡμεῖς χαρήσομεν ἐπ᾽ αὐτῷ ἕως τῶν ἐσχάτων ἡμερῶν. ἀλλ᾽ ὑμεῖς, τέκνα μου, φυλάξατε τὰς ἐντολὰς τοῦ Θεοῦ Κυρίου καὶ τιμᾶτε τὸν Ἰούδαν καὶ τὸν Λευί· ὅτι ἐξ αὐτῶν ἀνατελεῖ ὑμῖν ὁ ἀμνὸς τοῦ Θεοῦ, τοῦτό ἐστι, ἀπὸ τῆς γενεᾶς τοῦ Ἰούδα καὶ κατὰ τὴν τάξιν τοῦ Λευὶ τὰ πρωτεῖα λαμβάνων τῇ ἐλεημοσύνῃ σώζων πάντας τοὺς λαοὺς Ἰσραήλ, καὶ ἐνθυμοῦ σὺ Ἰσραήλ, οὐ γὰρ μόνῳ τῷ Ἰσραὴλ ἡ σωτηρία, ἀλλὰ πᾶσι τοῖς ἔθνεσιν. Καὶ γὰρ οὐ μόνῳ τῷ Ἰσραὴλ ἐγένετο ἡ σωτηρία, ἐγένετο ἐκ τῆς ἁγιωτάτης παρθένου, καὶ ἔτραπε πάντα τὰ ἔθνη εἰς σωτηρίαν. καὶ ἐνθυμοῦ ὡς ὁ ἀμνὸς τὴν παρθένον κηρύσσει, καὶ ἡ βασιλεία αὐτοῦ οὐ παρασαλεύσεται εἰς ἀεὶ καὶ εἶπεν Ἰωσήφ. .

After εἰς ἀτιμίαν in x. 8 T. Benj. adds:—

οἱ μὲν θέλοντες εἶναι ἐν τῷ μέλλοντι βίῳ . . . ἀεὶ . . . βάσανον αἰώνιον . . . ἀγαλλιῶντες ἐπὶ τῷ ποιοῦντι τὰ ἀγαθὰ πράγματα, ἢ συνεχῶς ἀτιμάζοντες οὐ μόνον ἀλλὰ καὶ βασανίζοντες, οἳ ἦσαν ἐνθάδε μιαροὶ θεράποντες καὶ οὐ θέλοντες μετανοεῖν πρὶν ἢ ἐνθάδε φεύγειν καὶ ἀφικνεῖσθαι. ὁ σκώληξ γὰρ αὐτῶν οὐ λήγει, εἶπεν ὁ Χριστός— κρῖμα δίκαιον καὶ τὸ πῦρ οὐ σβέννυται.

After xvi. adds:—

Καὶ ἔτι σοι λέγω, Ἰουδαῖε, ἆρ᾽ ἤκουσας Λευὶ λέγοντος τοῖς τέκνοις τῶν τέκνων αὐτοῦ, εἰ γὰρ ἐσταύρωσας Κύριον ὅμως οἰκτείρει καὶ δέχεται τοὺς ἐρχομένους πρὸς αὐτὸν βαπτισθέντας ὕδατι ἐν τῷ ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος καὶ ἐννόει ὅτι οὐκ ἐστί σοι συγγνώμη εἰ μὴ πιστεύεις ἐν αὐτῷ καὶ δέχει τὸν βαπτισμὸν ἐν τῷ ὀνόματι αὐτοῦ. καὶ γὰρ ὁ Θεὸς ὁ Κύριος αὐτὸς εἶπε ἐν τῷ ἁγίῳ εὐαγγελίῳ, εἰ μὴ γενήσεταί τις τῷ ὕδατι καὶ τῷ πνεύματι, οὐκ εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ἀλλα σύ, ὦ Ἰουδαῖε, μὴ ἐννόει περὶ τῶν πρότερον ὅπως μὴ ἀπολλύῃς τὴν ψυχήν σου. Ἀποδέχου τὸν ἅγιον βαπτισμὸν καὶ ἔσει ὡς νεόγονος παῖς ἄνευ φθορᾶς κακίας [ ]. Ἄκουε, ὦ Ἰουδαῖε, τοῦ Λευὶ λέγοντος, περὶ τῆς ἱερατείας τοῦ Κυρίου.

APPENDIX V

RETRANSLATION OF THE SECOND RECENSION (S²) OF THE SLAVONIC VERSION BY PROFESSOR MORFILL[1]

ΔΙΑΘΗΚΗ ΡΟΥΒΗΜ

I. 2. Ἐν τῷ δευτέρῳ μετὰ ταῦτα ἔτει Ῥουβὴμ ὁ πρωτόγονος τοῦ Ἰακὼβ υἱὸς ἀρρωστῶν προσεκάλεσε τοὺς ἀδελφοὺς αὐτοῦ καὶ τὰ τέκνα, 3. καὶ ἐμήκυνε αὐτοῖς λόγον μετανοίας καὶ εἶπε· 6. ἥμαρτον σὺν Βάλλᾳ, τῇ δούλῃ τοῦ πατρός μου, 7. καὶ εἰ μὴ ὁ πατὴρ προσηύξατο τῷ Κυρίῳ ὁ ἄγγελος τοῦ Κυρίου ἔκτεινεν ἄν. 10. Ἐγὼ δὲ ἑπτὰ ἔτη οὐκ ἐγευσάμην τοῦ οἴνου καὶ τοῦ σίκερα καὶ κρέας οὐκ εἰσῆλθε εἰς τὸ στόμα μου ἤδη ἑπτὰ ἔτη διὰ τὴν ἀσέλγειαν.

II. Ἀκούσατε, τέκνα μου, πατρὸς ὑμῶν Ῥουβὴμ ὅσα εἶδον· 2. Ἑπτὰ πνεύματα τῆς πλάνης ἐδόθη κατὰ τοῦ ἀνθρώπου ἀπὸ τοῦ Βελίαρ καὶ αὐτά εἰσι κεφαλὴ τῶν ἔργων τῆς πλάνης, [αὐτὰ δὲ πειράζεται ἕκαστον ἄνθρωπον ἐν παντὶ τῷ βίῳ. οὐ φύσει ἐγγίγνεται ταῦτα τὰ συστήματα]. 3. ἀλλὰ ἐδόθη αὐτῷ εἰς αὔξησιν διὰ τὸ εἶναι ἐν αὐτοῖς πᾶν ἔργον ἀνθρώπου. 4. πρῶτον πνεῦμα ζωῆς, μεθ' ἧς ἡ σύστασις κτίζεται. δεύτερον πνεῦμα ὁράσεως, μεθ' ἧς γίνεται ἐπιθυμία. 5. Τρίτον πνεῦμα ἀκοῆς μεθ' ἧς γίνεται διδασκαλία. Τέταρτον πνεῦμα ὀσφρήσεως, μεθ' ἧς ἐστὶ γεῦσις δεδομένη εἰς συνολκὴν ἀέρος καὶ πνοῆς. 6. Πέμπτον βούλησις, μεθ' ἧς γίνεται γνῶσις. 7. Ἕκτον πνεῦμα γεύσεως μεθ' ἧς γίνεται βρῶσις βρωτῶν καὶ ποτῶν καὶ ἰσχὺς ἐν αὐτοῖς κτίζεται· ὅτι ἐν βρώμασίν ἐστιν ἡ ὑπόστασις τῆς ἰσχύος. 8. Ἕβδομον πνεῦμα σπορᾶς μεθ' ἧς συνεισέρχεται διὰ τῆς φιληδονίας ἡ ἁμαρτία. 9. Διὰ τοῦτο ἔσχατον ἐστὶ τῆς κτίσεως καὶ πρῶτον τῆς νεότητος, ὅτι ἀγνοίας πεπλήρωται καὶ αὐτὴ τὸν νεώτερον ὁδηγεῖ ὡς τυφλὸν ἐπὶ βόθρον καὶ ὡς κτῆνος ἐπὶ κρημνόν. III. Ἐπὶ πᾶσι τούτοις ὄγδοον πνεῦμα τοῦ

[1] In this retranslation the chief and indeed most of the minor additions peculiar to the Slavonic Version are enclosed in square brackets. The text is frequently corrupt and defective, and occasionally, as in the Test. Judah, exhibits a complete inversion of the proper order of the narrative.

ὕπνου ἐστί, μεθ' οὗ ἐκτίσθη ἔκστασις φύσεως καὶ εἰκὼν τοῦ θανάτου. 2. Τούτοις τοῖς πνεύμασι συμμίγνυται τὸ πνεῦμα τῆς πλάνης. 3. Πρῶτον τὸ τῆς πορνείας ἀνθάπτεται τῆς φύσεως. δεύτερον πνεῦμα ἀπληστείας ἐν τῇ γαστρί. 4. Τρίτον πνεῦμα μάχης ἐν τῇ καρδίᾳ καὶ τῇ χολῇ. τέταρτον πνεῦμα ἀρεσκείας καὶ μαγγανείας, ἵνα διὰ περιεργείας ὡραῖος ὀφθῇ [τοῖς δυσκόλως ὁρῶσι]. 5. Πέμπτον πνεῦμα ὑπερηφανείας ἐπαινοῦντος ἑαυτὸν καὶ μεγαλοφρονοῦντος. Ἕκτον πνεῦμα ψεύδους ἐν ἀπωλείᾳ καὶ ἐν φθόνῳ ὥστε πλάττειν λόγους καὶ κρύπτειν ἀπὸ τοῦ γένους καὶ ἀπὸ τῶν οἰκείων. 6. Ἕβδομον πνεῦμα ἀδικίας, μεθ' ἧς κλοπὴ καὶ γρυπίσματα ἵνα ποιήσῃ φιληδονίαν καρδίας αὐτοῦ. Ἡ γὰρ ἀδικία συνεργεῖ τοῖς λοιποῖς πνεύμασι. 7. Ἐπὶ πᾶσι τούτοις τὸ πνεῦμα τοῦ ὕπνου συνάπτεται πλάνῃ καὶ φαντασίᾳ. 8. καὶ οὕτως ἀπόλλυται πᾶς νεώτερος, σκοτίζων τὸν νοῦν αὐτοῦ ἀπὸ τῆς ἀληθείας, καὶ μὴ συνίων ἐν τῷ νόμῳ τοῦ Θεοῦ βαίνειν, μήτε ὑπακούων νουθεσίας πατέρων αὐτοῦ· ὥσπερ κἀγὼ ἔπαθον ἐν τῇ νεότητί μου. 10. καὶ νῦν, τέκνα, μὴ προσέχετε ἐν ὄψει γυναικός. 12. συλλαβοῦσα γὰρ ἡ διάνοιά μου τὴν γυμνότητα τῶν γυναικῶν οὐκ ἔδωκέ μοι εἰρήνην ἕως οὗ ἔπραξα τὸ βδέλυγμα, [καὶ κακὸν ἐνώπιον τοῦ Θεοῦ].

VI. 8. Ἀκούσατε, τέκνα μου, Λευΐ, ὡς αὐτὸς συνίησι τὸν νόμον τοῦ Κυρίου καὶ διαστελεῖ ὑμᾶς καὶ προσοίσει θυσίας, ὑπὲρ παντὸς Ἰσραήλ, μέχρι τελειώσεως χρόνων ἀρχιερέως Χριστοῦ, ὃν εἶπε Κύριος.

[Ἐννόει, Ἰουδαῖε, ὡς εὖ δοκιμάζει Ῥουβὴμ Χριστὸν εἶναι ἀρχιερέα ὅστις ὑπὲρ πάντων ἐγεύσατο τοῦ θανάτου.] 11. ἀλλὰ Λευῒ ἦν ἐξ Ἰουδαίων ὃν ἐξελέξατο ὁ Θεὸς ὥστε κρατεῖν παντὸς τοῦ λαοῦ καὶ προσκυνεῖν τῷ σπέρματι αὐτοῦ, ὅτι ὑπὲρ ὑμῶν θανεῖται ἐν πολέμοις ὁρατοῖς καὶ ἀοράτοις. [ἐννόει δὲ σύ, τί τὸ ὁ πόλεμος ὁ ἀόρατος, ἐν γὰρ ἀοράτῳ οὐδεὶς τῶν θνητῶν δύναται ὠφέλειαν ἑαυτῷ προφέρειν. πῶς γὰρ δύναται ὠφελεῖν, μὴ ὁρῶν τὸ ἀόρατον; διάβολος γὰρ ἔτι μαχεῖται τῇ κλήσει τοῦ Θεοῦ ὑπὸ τούτου ἐκ γένους Ἰούδα γεννηθέντος νικηθήσεται ὁ διάβολος. ἀκούσατε καὶ ἐννοεῖτε ὃ ἔλεξε, καὶ ὁ Κύριος ὁ αἰώνιος ἔσται σὺν ὑμῖν. Ὡς τῷ Ῥουβὴμ ἔδοξεν ὅτι γίγνεται ὁ αἰώνιος Κύριος ἐξ Ἰούδα. ὁ γὰρ θνητὸς ὢν διὰ τοὺς αἰῶνας καὶ ἕως τοῦ διαλύεσθαι τὸν κόσμον ζήσεται εἰς τοὺς αἰῶνας.] VII. 1, 2. Ταῦτα λέξας ἀπέθανεν ὁ Ῥουβήμ, πρωτόγονος τοῦ Ἰακώβ. ἔζη δὲ 125 ἔτη καὶ ἀπέθανεν.

ΔΙΑΘΗΚΗ ΣΥΜΕΩΝ

Ἦν δὲ ὁ Συμεὼν ὁ δεύτερος υἱὸς τοῦ Ἰακώβ, καὶ ἡμέρας τῆς τελευτῆς προσερχομένης ἐκάλεσε υἱοὺς καὶ ἀδελφούς. εἶτα ἐμήκυνε τὸν λόγον αὐτοῖς. II. 5. ἀπὸ ὑψίστου ἡ ἀνδρεία δέδοται τῷ ἀνθρώπῳ ἐν ψυχαῖς

καὶ ἐν σώμασι. 6. *ἐζήλωσα τὸν Ἰωσήφ, τὸν ἐμὸν ἀδελφόν,* 7. *καὶ ὁ Σατανᾶς ὁ ἄρχων τῆς πλάνης ἀπέστειλε τὸ πνεῦμα τοῦ ζήλου, ἐτύφλωσέ μου τὸν νοῦν, καὶ ἐζήτησα κτείνειν τὸν Ἰωσήφ.* 8. *ἀλλὰ ὁ Θεὸς αὐτοῦ καὶ ὁ Θεὸς τοῦ πατέρος ἐμοῦ ἐρρύσατο αὐτὸν ἐκ τῶν χειρῶν μου.* 12. *καὶ ὁ Θεὸς οὐκ εἴασέ με ταύτην τὴν ἀνομίαν ἐργάζεσθαι.*

III. *Καὶ νῦν, τέκνα, φυλάξασθε ἀπὸ τοῦ πνεύματος τῆς πλάνης, ὃ διεγείρει τὸν φθόνον.* 2. *καὶ γὰρ ὁ φθόνος, εἰσελθὼν ἀπὸ τοῦ Βελίαρ κυριεύει πάσης τῆς διανοίας τοῦ ἀνθρώπου καὶ οὐκ ἀφίησιν αὐτὸν εὐφραίνεσθαι.* 3. *πάντοτε ὑποβάλλει ἀνελεῖν τὸν φθονούμενον, καὶ αὐτὸς (ὁ φθονούμενος) πάντοτε ἀνθεῖ [ἐν τῷ φόβῳ τοῦ Κυρίου] ὁ δὲ φθονῶν [μένει ἄνευ ἡσυχίας, φθόνος γὰρ ψυχὴν τεταραγμένον ποιεῖ καὶ σῶμα ἐκπλήξεσιν] μαραίνεται.* IV. 8. *Καὶ φθόνος ὀργὴν καὶ πόλεμον γεννᾷ καὶ εἰς αἵματα ἡγεῖται καὶ ἀφαιρεῖ τὸν ὕπνον καὶ κλόνον παρέχει τῇ ψυχῇ. [ἐννόει δὲ διανοίᾳ ὡς θεῖον πρᾶγμα ὁ ἄνθρωπος, ἀλλὰ νῦν ὅταν πνεῦμα ἐχθρὸν εἰσέρχηται ἀναγκάζει κατ' αὐτὸν δρᾶν τι.]* 9. *καὶ ἐν πνεύματι πονηρῷ τὴν ψυχὴν αὐτοῦ βασανίζει καὶ προφέρει φόβον τῷ σώματι [καὶ στάσιν εἰσφέρει]. καὶ γὰρ πνεῦμα ἐχθρὸν ἐγχεῖ τὸν ἰόν αὐτοῦ. [ὥστε μὴ μέμνησθαι τοῦ ἐλέους ἐγὼ δὲ ἐννόησα καὶ]* III. 4. *ἐκάκωσα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἔγνων ὅτι ἡ μέμψις τοῦ φθόνου γίνεται σὺν τῷ φόβῳ τοῦ Θεοῦ.*

['Αλλ' ἐπεὶ ὁ ἀδελφὸς Ἰωσὴφ ἦν ἐν Αἰγύπτῳ ἠδύνατο τιμωρεῖσθαι διὰ τὸ ἐμὸν πρᾶγμα ἀνόσιον] IV. 4. *Ἰωσὴφ δὲ ἀδελφὸς ἡμῶν ἦν ἀνὴρ ἀγαθὸς καὶ οὐκ ἐμνησικάκησέ μοι [ὡς κατ' αὐτοῦ ἥμαρτον, ἀλλὰ ἐνοήσατο περὶ ἡμῶν, ὡς ταῦτα βουλῇ Θεοῦ πέπρακται, καὶ ἔλεγε πάντα τὰ ἄλλα κατὰ τάξιν καὶ τούτους τοὺς λόγους προσέθηκε].*

V. 4. *ἑώρακα γὰρ ἐν χαρακτῆρι γραφῆς Ἐνώχ, ὅτι υἱοὶ ὑμῶν μεθ' ὑμῶν ἐν πορνείᾳ φθαρήσονται, [τοῦτό ἐστι, οὐκ εἰδότες τὸν υἱὸν τοῦ Θεοῦ διαφθειρόμενοι ἐν τοῖς ἔθνεσιν], καὶ ἐν Λευῒ ἀδικήσουσιν. [τοῦτό ἐστι, Ἰησοῦν Χριστὸν ἱερέα κατὰ τὸν Λευῒ ὃν οἱ Ἰουδαῖοι] ῥομφαίᾳ [διετρύπησαν].* 5. *ἀλλ' οὐ δύνανται πρὸς Λευΐ, ὅτι πόλεμον Κυρίου πολεμεῖ, [ἐννόει δέ, Ἰουδαῖε, ὁ πόλεμος τοῦ Θεοῦ τι σημαίνει. καὶ οὕτως ἀντικατέστης τῷ Κυρίῳ, καὶ τῷ σταυρῷ προσήλωσας. κατὰ τὸ θέλημα τοῦ φρουροῦντος σφραγίσαντες ἐν τῷ τάφῳ κατέθηκατε, ἀλλὰ καίπερ ἔχων τὴν σφραγῖδα διασεσωμένην, ἀνέστη ἐκ τοῦ τάφου ἄνευ διαφθορᾶς, ὡς εἶπε, οὐκ ἠδύναντο καὶ οὐ δύνανται δεσμεύειν τὸν Θεόν, καίπερ σφραγίσαντες τὸν τάφον, ἀλλὰ]* 6. *καθὼς καὶ Ἰακὼβ προφητεύων ἐν εὐλογίαις, [καὶ οὐκ εὐλόγησε τὰ ἔθνη, καὶ Συμεὼν προσέθηκε λέγειν τοῖς υἱοῖς].* VI. 1. *ἰδοὺ εἴρηκα ὑμῖν πάντα, ὅπως δικαιωθῶ ἀπὸ τῆς ἁμαρτίας τῶν ψυχῶν ὑμῶν [ἰδοὺ Συμεὼν προ-*

φητεύει· καὶ λέγει τὴν ἔλευσιν τοῦ Χριστοῦ, καὶ τούτῳ καθαίρει τὴν ψυχὴν ἐκ τῶν ἀνόμων πράξεων τοῦ Ἑβραϊκοῦ γένους εἴπερ ἀφαιρήσετε φθόνον καὶ μεγαλοφροσύνην καὶ ἐπολέμησε Συμεὼν τοῖς υἱοῖς αὐτοῦ ὥστε ἀποτρέπειν αὐτοὺς ἀπὸ φθόνου καὶ μεγαλοφροσύνης, ἀλλ' οὐκ ἠδύνατο τότε πολεμεῖν, καὶ γὰρ Ἰουδαῖοι τότε προσεκαίοντο φθόνῳ καὶ μεγαλοφροσύνῃ, ἀφ' ἧς δεσμεύοντες τὸν Ἰησοῦν προσέφερον αὐτὸν τῷ Πιλάτῳ εἰς τὸ βουλευτήριον. Πιλάτος δὲ οὐχ εὑρίσκει ἁμαρτίαν ἐν αὐτῷ. Καὶ Συμεὼν εἶπεν αὐτοῖς] 2. *εἰ ἀποκλίνεσθε ἀπὸ φθόνου καὶ σκληροτραχηλίας, καὶ ὀστᾶ μου ὡς ῥόδον ἀνθήσει ἐν Ἰσραὴλ καὶ ὡς κρίνον ἡ σάρξ μου ἐν Ἰακώβ, καὶ ἔσται ἡ ὀσμή μου θαυμάσιος καὶ πληθυνθήσεται ὡς κέδροι ἅγιαι.*

[Ποῦ γὰρ κέδρον ἁγίαν λέγει ἢ ποῦ τὸ πρότερον δένδρον ἁγιάζεται, ἀλλ' οἱ μεγάλοι πατριάρχαι εἶδον τοῖς ὀφθαλμοῖς τῆς διανοίας καθὼς ἦν τῷ Ἰησοῦ τῷ υἱῷ τοῦ Θεοῦ κυπαρίσσῳ καὶ πεύκῃ καὶ κέδρῳ σταυροῦσθαι καὶ ἕνεκα τούτου ἡ ἁγία κέδρος ἔννοιαν ἔχει ἀπ' ἐμοῦ καὶ ἔσται εἰς ἀεὶ προφητεία καὶ ἀπὸ Χριστοῦ ἕως τοῦ χρόνου πεπληρωμένου] ἀποβλαστήματα αὐτῶν [εἰς μακρὸν χρόνον φύσεται, τοῦτό ἐστι, ὄνομα Χριστοῦ ἐκταθήσεται εἰς πάντα τὰ ἔθνη]. 5. *καὶ τότε σημεῖα δοξάζεται ὅταν ὁ Κύριος ὁ ὕψιστος Θεὸς φανεῖται ἐπὶ τῇ γῇ, ὥσπερ ἄνθρωπος σώζων τὸν Ἀδάμ. [Ἰδού, ὡς ὁ Ἀδὰμ σώζεται, ὥσπερ Ἀδὰμ ἦν ὁ πρῶτος ἄνθρωπος, καὶ ἔπεσε παραβαίνων τὴν ἐντολὴν τοῦ Θεοῦ, ἕνεκα τούτου, ὁ Θεὸς ἄνθρωπος ἐγένετο, λαβὼν σάρκα ἀπὸ παρθένου σώζει σὺν αὐτῷ καὶ τὴν φύσιν καὶ τοὺς ἀνθρώπους, καὶ ἐκφέρει τὸν Ἀδὰμ καὶ δίδωσι αὐτῷ πάντα τὰ πνεύματα τῆς πλάνης εἰς τὸ κολάζειν καὶ ἄνθρωποι ἄρξονται κρατεῖν τῶν πονηρῶν πνευμάτων. καὶ ἐπὶ τῇ ἀναλήψει ὁ Κύριος ἀπέπεμψε τὸ ἅγιον πνεῦμα τοῖς ἁγίοις ἀποστόλοις καὶ ἔδωκεν αὐτοῖς δύναμιν καὶ κράτος τοῖς λόγοις τοῦ Κυρίου τὰ πνεύματα τῆς πλάνης ἐξήλασαν, καὶ ἡμεῖς εἰς ταύτην τὴν ἡμέραν τὰ ὀστᾶ τῶν ἁγίων ἔχομεν τῷ ἔργῳ τοῦ ἁγίου πνεύματος].* 6. *τὰ πνεύματα τὰ ἀκάθαρτα ἀφανισθήσεται, [ὡς ὁ καπνὸς]* 7. *καὶ τότε ἔσονται εὐλογίαι τοῦ ὑψίστου περὶ τῶν σημείων αὐτοῦ, ὡς εἶπεν ὁ Θεὸς λαβὼν τὸ σῶμα καὶ συνεσθίων ἀνθρώποις, σώζειν τὸν ἄνθρωπον.*

VII. 1. *Καὶ νῦν, τέκνα μου, ἐν Λευὶ καὶ ἐν Ἰούδᾳ λυτρωθήσεσθε καὶ μὴ ἐπαίρεσθε ἐπὶ τὰς δύο φυλὰς ταύτας, ὅτι ἐξ αὐτῶν ἀνατελεῖ ὑμῖν τὸ σωτήριον τοῦ Θεοῦ.* 2. *Ἀναστήσει γὰρ Κύριος ἐκ τοῦ Λευὶ ὡς ἀρχιερέα, καὶ ἐκ τοῦ Ἰούδα ὡς βασιλέα καὶ ἄνθρωπον, οὕτως σώσει πάντα τὰ ἔθνη καὶ τὸ γένος τοῦ Ἰσραήλ. [Καὶ τότε πολλοὶ Ἰσραηλῖται σώζονται καὶ ἄλλοι ἀφιερώθησαν ἄνευ ἀριθμοῦ πιστεύοντες τῷ Θεῷ, ἐξ αὐτῶν καὶ τῶν μεγάλων ἀποστόλων ἦσαν 12 καὶ 70 μαθηταί. Ὑμεῖς*

δὲ ἄθλιοι ἐστὲ πρὸς ὕβριν καὶ ὄνειδος καὶ ἐστὲ παράδειγμα πᾶσι τοῖς ἔθνεσι]. 3. Διὰ τοῦτο ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα καὶ ὑμεῖς ἐντείλησθε τοῖς τέκνοις ὑμῶν ὅπως φυλάξωσιν αὐτὰ εἰς τὰς γένεας αὐτῶν.

VIII. καὶ ταῦτα συνετέλεσεν Συμεὼν τοῖς υἱοῖς αὐτοῦ ζήσας ἑκατὸν εἴκοσι ἐτῶν. 2. καὶ ἔθηκαν τὰ ὀστᾶ αὐτοῦ ἐν θήκῃ ξύλων ἀσήπτων ὡς ἀναγαγεῖν τὰ ὀστᾶ αὐτοῦ ἐν Χεβρὼν ἐκέλευσε. καὶ ἀνήνεγκαν αὐτὰ ἐν πολέμῳ Αἰγυπτίων κρυφῇ.

ΔΙΑΘΗΚΗ ΛΕΥΙ

I. 1, 2. Καὶ τότε Λευὶ ὁ τρίτος υἱὸς Ἰακὼβ υἱὸς Λέας, ἐκάλεσεν αὐτοὺς πρὸς ἑαυτὸν [ὥστε διδάσκειν αὐτοὺς τὰς περὶ ἱερωσύνης ὁράσεις, καὶ περὶ τῆς προόψεως τοῦ λόγου] πρὶν ἀποθανεῖν.

II. Ἐγὼ Λευὶ ἐν ἀγαλλιάσει ἠρξάμην καὶ ἐγενόμην, [καὶ ἀνεφυσάμην ἐν δόμῳ τοῦ πατρός μου] καὶ μετὰ ταῦτα ἦλθον σὺν τῷ πατρὶ εἰς Σίκιμα. 2. Ἤμην δὲ νέος, ὡσεὶ ἐτῶν εἴκοσι, ὅτε ἐποίησα μετὰ Συμεὼν τὴν ἐκδίκησιν τῆς ἀδελφῆς ἡμῶν Δίνας. 3. Ὡς δὲ ἐποίμαινον ἐν Ἀβελμαούλ, πνεῦμα συνέσεως Κυρίου ἦλθεν ἐπ' ἐμέ, καὶ πάντας ἑώρων ἀνθρώπους ἀφανίσαντας τὴν ὁδὸν αὐτῶν καὶ ὅτι ὡς τεῖχος ᾠκοδόμησαν τὴν ἀδικίαν καὶ ἐπὶ πύργους ἡ ἀνομία κάθηται. 4. καὶ ἐλυπούμην περὶ τοῦ γένους τῶν ἀνθρώπων, καὶ ηὐξάμην Κυρίῳ, ὅπως σωθῶσιν. 5. Τότε ἐπέπεσεν ἐπ' ἐμὲ ὕπνος, καὶ ἐθεασάμην ὄρος ὑψηλόν· τοῦτο ὄρος Ἄσπιδος ἐν Ἀβελμαούλ. 6. καὶ ἰδοὺ ἠνεῴχθησαν οἱ οὐρανοὶ καὶ ἄγγελος Θεοῦ εἶπε πρός με· Λευὶ εἴσελθε. 7. καὶ εἰσῆλθον ἐκ τοῦ πρώτου οὐρανοῦ εἰς τὸν δεύτερον, καὶ εἶδον ἐκεῖ ὕδωρ κρεμάμενον ἀνάμεσον τούτου κἀκείνου. 8. καὶ εἶδον τρίτον οὐρανὸν πολὺ φωτεινότερον παρὰ τοὺς δύο, καὶ γὰρ ὕψος ἦν ἐν αὐτῷ ἄπειρον. 9. καὶ εἶπον τῷ ἀγγέλῳ, διατί οὗτος; καὶ εἶπεν ὁ ἄγγελος πρός με, Μὴ θαύμαζε ἐπὶ τούτοις, ἄλλους γὰρ οὐρανοὺς ὄψει, [οἳ εἰσὶ πλανῆται καὶ οἳ καλοῦνται ζῶναι τέσσαρες] φαιδρότεροι καὶ δεινότεροι τούτων, 10. ὅτε ἀνέλθῃς ἐκεῖ. ὅτι σύνεγγυς Κυρίου στήσῃ καὶ λειτουργὸς αὐτοῦ ἔσῃ, καὶ μυστήρια αὐτοῦ ἐξαγγελεῖς τοῖς ἀνθρώποις, καὶ περὶ τοῦ μέλλοντος λυτροῦσθαι τὸν Ἰσραὴλ κηρύξεις· 11. καὶ περὶ Ἰούδα δείξει Κύριος ἐν ἀνθρώποις σώζων ἐν αὐτῷ πᾶν γένος ἀνθρώπων.

III. Καὶ εἶπέ μοι, ἄκουσον, καὶ γὰρ τῶν ἑπτὰ οὐρανῶν ὁ κατώτερος διὰ τοῦτο στυγνότερός ἐστιν, ὅτι ὁρᾷ πάσας τὰς ἀδικίας ἀνθρώπων. 2. ὁ δεύτερος ἔχει πῦρ, χιόνα, κρύσταλλον ἕτοιμα εἰς ἡμέραν προστάγματος Κυρίου, ἐν τῇ δικαιοκρισίᾳ τοῦ Θεοῦ. ἐν αὐτῷ εἰσὶ πάντα τὰ πνεύματα πεμπόμενα εἰς ἐκδίκησιν τῶν ἀνθρώπων. 3. Ἐν τῷ τρίτῳ εἰσὶν αἱ δυνάμεις τοῦ συντάγματος τῆς προσβολῆς ὥστε ἐν

ἡμέρᾳ κρίσεως ποιῆσαι ἐκδίκησιν ἐν τοῖς πνεύμασι τῆς πλάνης καὶ τοῦ Βελίαρ. οἱ δὲ εἰς τὸν τέταρτον ἐπάνω τούτων ἅγιοι εἰσίν, 4. καὶ ἐν τῷ ἀνωτέρῳ τῶν πάντων καταλύει ἡ μεγάλη δόξα ἐν ἁγίῳ ἁγίων, ὑπεράνω πάσης ἁγιότητος. 5. Ἐν τῷ ὑπ' αὐτοῖς οἱ ἄγγελοί εἰσι τοῦ προσώπου Κυρίου, οἱ λειτουργοῦντες καὶ ἐξιλασκόμενοι πρὸς Κύριον ἐπὶ πάσαις ταῖς ἀγνοίαις τῶν δικαίων. 6. προσφέρουσι δὲ Κυρίῳ ὀσμὴν εὐωδίας λογικήν, καὶ ἀναίμακτον προσφοράν. 7. Ἐν δὲ τῷ ὑποκάτω εἰσὶν οἱ ἄγγελοι οἱ φέροντες τὰς ἀποκρίσεις τοῖς ἀγγέλοις τοῦ προσώπου Κυρίου. 8. Ἐν δὲ τῷ ὑπ' αὐτοῖς εἰσὶ θρόνοι τῆς ἐξουσίας, ἐν ᾧ ὕμνους ἀεὶ τῷ Θεῷ προσφέρουσιν. 9. ὅταν οὖν ἐπιβλέψῃ Κύριος ἐφ' ἡμᾶς πάντες ἡμεῖς σαλευόμεθα, καὶ οἱ οὐρανοὶ καὶ ἡ γῆ ἐξ ἀβύσσου τῆς μεγαλωσύνης αὐτοῦ. 10. οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐπὶ τούτοις ἀναισθητοῦντες ἁμαρτάνουσι, καὶ παροργίζουσι τὸν Ὕψιστον.

IV. Νῦν οὖν γινώσκετε, ὅτι ποιήσει Κύριος κρίσιν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων, ὥσπερ τῶν πετρῶν σχιζομένων καὶ τοῦ ἡλίου σβεννυμένου καὶ τῶν ὑδάτων ξηραινομένων καὶ τοῦ ᾅδου σκυλευομένου ἐπὶ τῷ πάθει τοῦ ὑψίστου, οἱ ἄνθρωποι ἀπιστοῦντες ἐπιμενοῦσιν ἐν ταῖς ἀδικίαις. διὰ τοῦτο ἐν κολάσει κριθήσονται. 2. καὶ γὰρ ὁ ὕψιστος (εἰσήκουσε) τῆς προσευχῆς σου, τοῦ διελεῖν σε ἀπὸ τῆς ἀδικίας καὶ γενέσθαι αὐτῷ υἱὸν καὶ θεράποντα καὶ λειτουργόν. 3. φῶς γνώσεως φωτεινὸν φωτιεῖς ἐν Ἰακώβ, καὶ ὡς ὁ ἥλιος ἔσῃ παντὶ σπέρματι ἐν Ἰσραήλ. 4. καὶ δοθήσεταί σοι εὐλογία καὶ παντὶ σπέρματί σου, ἕως ἐπισκέψηται Κύριος πάντα τὰ ἔθνη ἐν σπλάγχνοις υἱοῦ αὐτοῦ ἕως αἰῶνος. πλὴν οἱ υἱοί σου ἐπιβαλοῦσι χεῖρας ἐπ' αὐτόν, τοῦ κακῶσαι αὐτόν, 5. καὶ διὰ τοῦτο δώσεταί σοι βουλὴ καὶ συνετίσαι τοὺς υἱούς σου περὶ αὐτοῦ, 6. ὅτι ὁ εὐλογῶν αὐτὸν εὐλογημένος ἔσται, οἱ δὲ καταρώμενοι αὐτὸν ἀπυλοῦνται.

[Καὶ οὕτως Λευὶ προσέθηκε ταύτην τὴν παραίνεσιν τοῖς υἱοῖς αὐτοῦ.] V. καὶ ἤνοιξέ μοι ὁ ἄγγελος τὰς πύλας τοῦ οὐρανοῦ καὶ εἶδον τὸν ναὸν τὸν ἅγιον. καὶ ἐπὶ θρόνου δόξης τὸν Ὕψιστον, 2. καὶ εἶπέ μοι· Λευὶ σοὶ δέδωκα τὰς εὐλογίας ἀξιώματος ἕως οὗ ἐλθὼν παροικήσω ἐμμέσῳ τοῦ Ἰσραήλ. 3. Τότε ὁ ἄγγελος ἤγαγέ με ἐπὶ τὴν γῆν καὶ ἔδωκέ μοι ὅπλον καὶ ῥομφαίαν καὶ εἶπε, ποίησον ἐκδίκησιν ἐν Συχὲμ ὑπὲρ Δίνας, κἀγὼ ἔσομαι μετὰ σοῦ ὅτι Κύριος ἀπέσταλκέ με. 7. καὶ τότε ὡς ἐξ ὕπνου ἐγερθεὶς εὐλόγησα τὸν Κύριον. 4. Καὶ συνετέλεσα τῷ καιρῷ ἐκείνῳ τοὺς υἱοὺς Ἔμμωρ, VI. 3. καὶ ἔπειτα σὺν τῷ Συμεὼν ἐζήλωσα ἐν τῇ ἀνομίᾳ ἣν ἐποίησαν ἐν Ἰσραήλ, 4. καὶ ἀνεῖλον τὸν Συχὲμ καὶ Συμεὼν τὸν Ἐμμὼρ 6. καὶ ὁ πατὴρ ἡμῶν ἀκούσας ὅσα παρενόμησαν

ἐχαλέπαινε ἐν ἡμῖν VII. 1. καὶ εἶπον τῷ πατρί μου, Κύριε Ἰακὼβ πάτερ, μὴ ὀργίζου. 3. καὶ γὰρ ἐλυμαίνοντο τὴν Δίνην ἡμῶν. [καὶ ἕνεκα τούτου ὁ χόλος τοῦ Θεοῦ ἐξῆλθε κατ' αὐτῶν καὶ ὁ ἄγγελος τοῦ κρατεροῦ ἐβοήθησεν ἐμοί, ἐννόει, Ἰουδαῖε, ταύτην τὴν ἔννοιαν καὶ ἔθιζε σεαυτὸν πρὸς τὴν ὄψιν, ἣν ἐδήλωσέ σοι ὁ Λευὶ ὁ εὐλογημένος ὡς ἐρώτησε ὁ Λευὶ ὁ εὐλογημένος τὸν ἄγγελον θαύμασας τὰ ἐπουράνια, ἄγγελος εἶπεν αὐτῷ πλησίον τῷ Κυρίῳ στήσει καὶ θεράπων αὐτῷ ἔσει καὶ τοῖς ἀνθρώποις τὰ μυστήρια ἀγγελεῖς καὶ προφητεύσεις περὶ τοῦ μέλλοντος σώζειν τὸν Ἰσραὴλ καὶ οὕτως οὐκ ἐννοεῖς, ὦ Ἰουδαῖε, καίπερ τοῦ ἀγγέλου τοῦ Θεοῦ προφητεύοντος τοῖς προγόνοις σου περὶ τῆς σωτηρίας τοῦ Ἰσραήλ, ὡς ἐκ σοῦ φανήσεται περὶ Ἰούδου ὁ Κύριος τοῖς ἀνθρώποις, σώζων, ὡς εἶπε δι' ἑαυτὸν πᾶν τὸ γένος τῶν ἀνθρώπων. Ἐννόει, ἄθλιε, ὅτι οὔτε ἄγγελος οὔτε πρέσβυς ἀλλ' ὁ Θεὸς αὐτὸς ἔσωσεν ἡμᾶς. Τόδε γὰρ ἐν πρώτοις ἐλέξαμέν σοι ὅτι ἐκ γενεᾶς τῶν Ἰουδαίων ἐγένετο ὁ Κύριος ἐκ Μαρίας παρθένου, ὧν ἱερεὺς κατὰ τὸν Λευί, ὡς γὰρ κατὰ τὴν πρώτην ἐντολὴν ἦν ἱερεὺς ἵνα καθαρίσῃ τὰς τοῦ λαοῦ ἁμαρτίας, ἕνεκα τούτου ἱερεὺς ἦν ὁ Κύριος, περὶ οὗ ἔλεξεν ὁ ἄγγελος τῷ Λευί· εἶπον περὶ σοῦ καὶ περὶ τοῦ Ἰούδου ὅτι Κύριος φανήσεται ἀνθρώποις, σώζων δι' ἑαυτὸν πᾶν τὸ γένος τῶν ἀνθρώπων ἄνευ αἵματος, ἐννοοῦντες προσφορὰν ὅτι οἱ ἄγγελοι θρησκείαν προφέρουσι τῷ Κυρίῳ οὐκ ἐξ αἵματος μόσχων ἢ αἵματος τράγων ἀλλ' εὐχαριστίαν τῷ Κυρίῳ καὶ καθαρὰν θρησκείαν προφέρουσιν, καὶ οὕτως ἡμεῖς Χριστιανοὶ τὸ σῶμα καὶ τὸ αἷμα καθαρὰν θρησκείαν κατὰ τὴν τάξιν τοῦ Μελχισεδὲκ προφέρομεν. Ἐννόει δὲ νῦν περὶ τούτου, νῦν πάρεστι ὁρᾶν ὡς ὁ Θεὸς ποιεῖ κρίσιν περὶ τῶν υἱῶν τοῦ ἀνθρώπου, περὶ ὑμῶν, ὦ ἄθλιοι, οὐ ποιεῖ κρίσιν ὁ Θεὸς εἰς τὸ πῦρ τὸ ἄσβεστον καὶ εἰς τὸν σκώληκα ὃς οὐ τελευτᾷ καὶ ἑτοιμάζων ὑμῖν λίθον τοῦ προσκόμματος ὅτε προσηλώσατε τὸν Θεὸν τῆς δόξης ἐπὶ τῷ σταυρῷ καὶ ὁ ἥλιος ἐξέλειψε, καὶ γὰρ οὐ τότε ὁ ἥλιος ἐξέλειψε, ἡνίκα τὸν Κύριον ἐπὶ σταυρῷ ἐσταυρώσατε; ὡς τὸ ἅγιον εὐαγγέλιον λέγει. τότε γὰρ ἦν σκότος ἐπὶ πάσῃ τῇ γῇ ἀπὸ τῆς τρίτης ὥρας ἕως τῆς ἐννάτης ὑδάτων ξηραινομένων καὶ τοῦ ᾍδου αἰχμαλωτιζομένου. εἶπε γάρ μοι, εἰ ὁ ᾍδης αἰχμαλωτίσθη στρατιῶται ὡπλισμένοι εἰς τὸν ᾍδην εἰσῆλθον, ἀλλὰ καὶ ὁ Κύριος κείμενος ἐν τῷ μνημείῳ, τότε εἰσῆλθεν εἰς τὸν ᾍδην. λύει τὸν πρωτογεννηθέντα Ἀδὰμ ἐκ δεσμωτηρίου, ὅτι αὐτὸς Κύριος ἐστι τῶν οὐρανῶν καὶ τῆς γῆς καὶ τῶν κάτω, καὶ διὰ τοῦτο ἦλθεν ὥστε αἰχμαλωτίζειν τὸν ᾍδην. καὶ ἔτι ἔπαθεν, καὶ τὸ θεῖον [μέρος] αὐτοῦ ἦν ἄνευ πάθους, καὶ γὰρ τῷ αὐτοῦ πάθει ἔδωκεν ἀπάθειαν τῷ γένει τῶν ἀνθρώπων. Ἄνθρωποι οὐκ εἰδότες ἐν ἀδικίᾳ μενοῦσιν,

ὑμεῖς γὰρ οἱ οὐκ ἔννοιαν ἔχοντες ταλαιπώρῳ ἐν ἀδικίᾳ μένετε καὶ ἕνεκα τούτου κατακρίνεσθε ἐν βασάνοις, καὶ ἤκουσεν ὁ ὕψιστος τὴν εὐχήν, καὶ ἀποτρέπου ἀπὸ τῆς πονηρίας καὶ γένου ὁ υἱὸς αὐτοῦ καὶ θεράπων, ἐννόει γὰρ ὡς τὸ πρόσθεν ὁ υἱὸς τοῦ Θεοῦ ἦν καὶ ὑπηρέτει πρὸ προσώπου αὐτοῦ. καὶ δώσει σοι τὴν εὐλογίαν καὶ παντὶ τῷ σπέρματί σου, ἕως ἂν ὁ Κύριος ἐπισκέψηται πάντα τὰ ἔθνη καὶ (πέμψει) τὸν υἱὸν αὐτοῦ εἰς ἀεὶ σὺν ἐλεημοσύνῃ. ὡς ὑμεῖς, ὦ ταλαίπωροι, ἐπεβάλετε τὰς χεῖρας καὶ ἐκακώσατε τὸν υἱὸν τοῦ Θεοῦ καὶ ἕνεκα τούτου ἔννοια δοθήσεται ὑμῖν ὥστε γνωρίζειν τοὺς υἱοὺς περὶ τούτου, ὡς ὁ εὐλογίζων αὐτὸν εὐλογήσεται καὶ ὁ καταρώμενος ἐξολοθρευθήσεται. καὶ οὕτως μέμνησθε περὶ τούτου, τίς ἐστι, εὐλογῶν τὸν υἱὸν τοῦ Θεοῦ καὶ πιστεύοντες ἐν αὐτῷ ἐν τῇ ἀληθείᾳ, ἡμεῖς γὰρ οἱ Χριστιανοὶ προεκυνήσαμεν αὐτῷ, ὑμεῖς δὲ ἐσταυρώσατε, καὶ οὕτως ἐν ἀληθείᾳ ἐποιήσατε καθ' ὑμῶν αὐτῶν τὸν ὄλεθρον. καὶ ἀπόλλυσθε ὡς μικρόν τι μέρος διασκορπισθέντες ἐν τῇ οἰκουμένῃ. καὶ τοῦτο τὸ μέρος οὐκ ὀλίγον λαμβάνει βάρος καὶ λύπην καὶ κάκωσιν. Ἐννόει δὲ τὸ λεχθὲν τῷ Λευὶ ἐν τοῖς οὐρανοῖς· ἔδωκά σοι τὴν εὐλογίαν τῆς καθαρότητος, ἕως ἐλθὼν παροικῶ ἐν τῷ Ἰσραήλ, ἀλλ' ὑμεῖς, ὦ ταλαίπωροι, οὐκ ἐννοεῖτε ὅτι ἐλεύσεται ὁ Κύριος σώζειν τὸν Ἰσραήλ, εἰ καὶ ἐβλασφημήσατε βλασφημίᾳ τὸν Κύριον, καὶ τούτου χάριν ἡμεῖς ἄλλοτε φέροντες νῦν ἀπεδεξάμεθα τὸν νόμον τοῦ Θεοῦ αὐτοῦ, ἀλλ' ὑμεῖς, ταλαίπωροι, ὅμοιοι γενόμενοι τῷ παλαιῷ σατανᾷ ἕνεκα τῆς ὑπερηφανίας εἰς τὸν ὄλεθρον ἐπέσετε].

VIII. 1. [Καὶ εἶπεν ὁ Λευί· ὅτε ἦλθον πορευόμενος] εἰς Βεθήλ, εἶδον ὅραμα δεινὸν περὶ ἁγιότητος, ὡς πρότερον. εἶδον, 2. ἑπτὰ ἀνθρώπους ἐν ἐσθῆτι λευκῇ λέγοντάς μοι, Ἀναστὰς ἔνδυσαι τὸ ἱμάτιον τῆς πίστεως καὶ τὴν ἐπιστήθιον χλαμύδα καὶ τὸ ἐφοὺδ τῆς προφητείας. 3. Καὶ εἷς ἕκαστος αὐτῶν ἕκαστον βαστάζοντες ἐπέθηκάν μοι καὶ εἶπον· Ἀπὸ τοῦ νῦν γίνου εἰς ἱερέα Κυρίου, σὺ καὶ υἱοί σου καὶ σπέρμα σου πρὸς αὐτὸν ἕως αἰῶνος. 4. καὶ ὁ πρῶτος ἤλειψεν ἐλαίῳ ἁγίῳ καὶ ἔδωκέ μοι τὴν ζωὴν τῆς ἐλαίας [τοῦτό ἐστιν τῇ ἁγίᾳ ἐλαίᾳ ᾗ ἀλείφονται Χριστιανοὶ ἐν τοῖς ἁγίοις λουτροῖς, καὶ τότε καθιέρωσαν ἑαυτοὺς τῷ Κυρίῳ καὶ λήψονται τὴν ζωὴν τὴν αἰώνιον]. 5. Ὁ δεύτερος ἔλουσέ με ὕδατι καθαρῷ, [τοῦτό ἐστι τριπλῷ βυθισμῷ, ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος,] καὶ ἐψώμισεν ἄρτον καὶ οἶνον, εἰς ἅγια ἁγίων, [τοῦτό ἐστι εὐχαριστίαν ἐν τῇ ἐκκλησίᾳ τοῦ Κυρίου]. καὶ περιέθηκέ μοι στολὴν ἁγίαν καὶ ἔνδοξον, [τοῦτό ἐστι τὸ ἅγιον σημεῖον τοῦ ἐπουρανίου βασιλέως, βαπτισμός. οἱ ἄγγελοι γὰρ ὁρῶντες τοῦτο τὸ ἔνδοξον ἔνδυμα εὐφραίνονται, καὶ τὰ στρατεύματα

τῶν δαιμόνων ὁρῶντα φεύγει]. 6. Ὁ τρίτος βυσσίνην με περιέβαλεν, ὁμοίαν ἐφούδ, [καὶ τότε ἐξῆν μοι ἱερατεύειν κατὰ καιρὸν καὶ οὐκ εἰς τοὺς αἰῶνας τοῦτο ἐστι· εἷς μόνος ἐστι εἰς τοὺς αἰῶνας καὶ μένων εἰς τοὺς αἰῶνας· ὁ γὰρ Ἰησοῦς ἦν ἱερεὺς κατὰ τὴν τάξιν τοῦ Μελχισεδέκ]. 7. Ὁ τέταρτος ζώνην μοι περιέθηκεν, [οὐκ ἐν τῷ μέσῳ σώματι ἀλλ' ἐν τῷ νερτέρῳ μέρει, καὶ ἡ ζώνη ἦν] ὁμοία πορφύρᾳ. 8. Ὁ πέμπτος ἔδωκέ μοι τὴν πίστιν τῆς πιότητος, [τοῦτό ἐστι εὐαγγελικῶν καὶ ἀποστολικῶν λόγων, τούτους γὰρ ἀκούοντες οἱ ἅγιοι μάρτυρες ἐγέρθησαν ἀντὶ τοῦ στρατεύματος τοῦ πονηροῦ]. 9. Ὁ ἕκτος στέφανόν μοι τῇ κεφαλῇ περιέθηκεν, [καὶ γὰρ οἱ μάρτυρες ἐγερθέντες διὰ τὴν ἀληθινὴν πίστιν ἐστεφανώθησαν]. 10. Ὁ ἕβδομος διάδημά μοι τῇ κεφαλῇ περιέθηκεν ἱερατείας, καὶ ἐπλήρωσε τὰς χεῖράς μου θυμιάματος, ὥστε ἱερατεύειν με Κυρίῳ. 11. Εἶπε δὲ πρός με, Λευί, εἰς τρεῖς ἀρχὰς διαιρεθήσεται τὸ σπέρμα σου, εἰς σημεῖον δόξης Κυρίου ἐπερχομένου. 12. καὶ ὁ πιστεύσας πρῶτος κληρονόμος ἔσται καὶ μείζων ὑπὲρ αὐτὸν οὐ γενήσεται [οὕτως τῷ Ἰωάννῃ τῷ βαπτίστῃ ἐσημάνθη, ὃς ἦν ἐκ τῆς φυλῆς τῶν ἱερέων]· 13. ὁ δεύτερος διδάξει [ὡς ὁ Ἰησοῦς Χριστὸς σώσει τὸν κόσμον]. 14. Ὁ τρίτος ἐπικληθήσεται αὐτῷ ὄνομα καινόν, ὅτι βασιλεὺς ἐκ τοῦ Ἰούδα ἀναστήσεται καὶ ποιήσει ἱερατείαν νέαν κατὰ τὸν τύπον τῶν ἐθνῶν εἰς πάντα τὰ ἔθνη [τῆς ἀφίξεως αὐτοῦ]. 15. ἡ δὲ (παρουσία) ἀγαπητὴ ὡς προφήτου ὑψηλοῦ ἐκ σπέρματος Ἀβραὰμ πατρὸς ἡμῶν. 16. πᾶν ἐπιθυμητὸν ἐν Ἰσραὴλ σοὶ ἔσται καὶ τῷ σπέρματί σου· καὶ ἔδεσθε πᾶν ὡραῖον ὁράσει, καὶ τὴν τράπεζαν Κυρίου διανεμήσεται τὰ τέκνα σου [τοῦτό ἐστι ἡ ἀποστολικὴ εὐχαριστία σὺν τῷ Κυρίῳ]. 17. καὶ ἐξ αὐτῶν ἔσονται ἀρχιερεῖς καὶ κριταὶ καὶ γραμματεῖς, καὶ τὰ στόματα αὐτῶν ποιηθήσεται ἅγια. 18. Καὶ ἐξυπνισθεὶς συνῆκα ὅτι οὐχ ὅμοιόν ἐστι τῷ πρώτῳ ὁράματι. 19. Καὶ ἔκρυψα καίγε τοῦτο ἐν τῇ καρδίᾳ μου.

['Εννόει δὲ καί συ, ὦ ταλαίπωρε Ἰουδαῖε, ὡς καὶ σοὶ τὸ ὅραμα τοῦ Λευί, καὶ σοὶ ἔλεξα τὴν σωμάτωσιν καὶ τὸ πάθημα τοῦ υἱοῦ τοῦ Θεοῦ.]

IX. Καὶ μέθ' ἡμέρας δύο ἀνέβημεν ἐγὼ καὶ Ἰούδας μετὰ τοῦ πατρὸς ἡμῶν πρὸς τὸν πάππον Ἰσαάκ· 2. καὶ εὐλόγησέ με ὁ πατὴρ τοῦ πατρός μου κατὰ πάντας τοὺς λόγους τῆς ὁράσεώς μου ἧς εἶδον περὶ τῆς ἱερατείας, 7. καὶ ἐδίδαξέ με ὡς ἱερατεύειν τῷ Θεῷ τῷ ὑψίστῳ καθαρᾷ ψυχῇ. 8. καὶ ἦν καθ' ἑκάστην ἡμέραν συνετίζων με καὶ ἐν τοῖς νουθετισμοῖς εἶπέ μοι. X. [Καὶ ἔλεγε] Νῦν οὖν φυλάξασθε ὅσα ἐντέλλομαι ὑμῖν, τέκνα· ὅτι ὅσα ἤκουσα, ἀνήγγειλα ὑμῖν. 2. Ἀθῷός εἰμι ἀπὸ πάσης ἀσεβείας ὑμῶν, ἣν ποιήσετε ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς τὸν σωτῆρα τοῦ κόσμου, οὐ πιστεύοντες. [τίνα προσδοκᾷς, ὦ

᾿Ιουδαῖε, καὶ τίνα μένεις ἐρχόμενον, τοῦ Λευὶ προφητεύοντος, ἐπεὶ ἐν τῷ σωτῆρι τοῦ κόσμου οὐ πίστιν ἔχεις] πλανῶντες τὸν ᾿Ισραὴλ καὶ ἐγείροντες αὐτῷ κακὸν μέγα ἀπὸ τοῦ Κυρίου. 3. Καὶ ἀνομήσετε σὺν τῷ ᾿Ισραήλ, ὥστε μὴ βαστάξαι τὴν ᾿Ιερουσαλήμ, ἀπὸ προσώπου πονηρίας ὑμῶν, ἀλλὰ σχίσαι τὸ ἔνδυμα τοῦ ναοῦ, ὥστε μὴ κατακαλύπτειν ἀσχημοσύνην ὑμῶν. 4. Καὶ διασπαρήσεσθε αἰχμάλωτοι ἐν τοῖς ἔθνεσι καὶ ἔσεσθε εἰς ὀνειδισμὸν καὶ εἰς κατάραν καὶ εἰς καταπάτημα. 5. ὁ γὰρ οἶκος, ὃν ἂν ἐκλέξηται Κύριος, ᾿Ιερουσαλὴμ κληθήσεται. καὶ εὕρομεν ἐν τῇ βίβλῳ ᾿Ενὼχ τοῦ δικαίου.

[᾿Ιδοῦ δέ, ὦ ᾿Ιουδαῖε, ὡς ὁ εὐλογημένος Λευὶ εἶπέ σοι τὸ ὅραμα]. XIV. καὶ νῦν, τέκνα, ἔγνων ἀπὸ γραφῆς ᾿Ενώχ, ὅτι ἐπὶ τέλει ἀσεβήσετε ἐπὶ Κύριον, χεῖρας ἐπιβάλλοντες ἐν πάσῃ κακίᾳ, καὶ αἰσχυνθήσονται ἐφ᾿ ὑμῖν οἱ ἀδελφοὶ ὑμῶν, καὶ πᾶσι τοῖς ἔθνεσι γενήσεται χλευασμός. 2. καὶ γὰρ ὁ πατὴρ ἡμῶν ᾿Ισραὴλ καθαρὸς ἐστὶν ἀπὸ τῆς ἀσεβείας τῶν ἀρχιερέων οἵτινες ἐπιβαλοῦσι τὰς χεῖρας αὐτῶν ἐπὶ τὸν σωτῆρα τοῦ κόσμου. 4. καὶ ἐπάξετε κατάραν ἐπὶ τὸ γένος ἡμῶν, ὅτι τὸ φῶς τοῦ κόσμου τὸ δοθὲν ἐν ὑμῖν εἰς φωτισμὸν παντὸς ἀνθρώπου, τοῦτον θέλοντες ἀνελεῖν, ἐναντίας ἐντολὰς διδάσκοντες τοῖς τοῦ Θεοῦ δικαιώμασι. 5. τὰς προσφορὰς λαμβάνετε.

XV. Καὶ ὁ ναὸς ὃν ἂν ἐκλέξηται ὁ Κύριος (ἔρημος ἔσται) ἐν τῇ ἀκαθαρσίᾳ ὑμῶν. καὶ ὑμεῖς αἰχμάλωτοι ἔσεσθε εἰς πάντα τὰ ἔθνη. 2. καὶ ἔσεσθε βδέλυγμα καὶ λήψεσθε ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον παρὰ τῆς δικαιοκρισίας τοῦ Θεοῦ. 3. καὶ πάντες στυγήσουσιν ἡμᾶς. 4. καὶ εἰ μὴ δι᾿ ᾿Αβραὰμ καὶ ᾿Ισαὰκ καὶ ᾿Ιακὼβ τοὺς πατέρας ἡμῶν, εἷς ἐκ τοῦ σπέρματός μου οὐ μὴ καταλειφθῇ ἐπὶ τῆς γῆς.

XVI. Καὶ νῦν ἔγνων ἐν βιβλίοις ᾿Ενὼχ ὅτι ἑβδομάδα πλανηθήσεσθε καὶ τὴν ἱεροσύνην βεβηλώσετε καὶ τὰς θυσίας μιανεῖτε. 2. καὶ τὸν νόμον ἀφανίσετε καὶ λόγους προφητῶν ἐξουθενώσετε, ἐν διαστροφῇ διώξετε ἄνδρας δικαίους καὶ εὐσεβεῖς μισήσετε, ἀληθινῶν λόγους βδελύξεσθε. 3. καὶ ἄνδρα ἀνακαινοποιοῦντα νόμον ἐν δυνάμει ὑψίστου, πλάνον προσαγορεύσετε, καὶ τέλος, ὡς νομίζετε, ἀποκτενεῖτε αὐτόν, οὐκ εἰδότες αὐτοῦ τὸ ἀνάστημα, τὸ ἀθῷον αἷμα ἐν κακίᾳ ἐπὶ κεφαλὰς ὑμῶν ἀναδεχόμενοι. 4. Δι᾿ αὐτὸν ἔσται τὰ ἅγια ὑμῶν ἔρημα, ἕως ἐδάφους μεμιαμμένα. 5. καὶ οὐκ ἔσται τόπος ὑμῶν καθαρός, ἀλλ᾿ ἐν τοῖς ἔθνεσιν ἔσεσθε εἰς κατάραν καὶ εἰς διασκορπισμόν, ἕως αὐτὸς πάλιν ἐπισκέψηται, καὶ οἰκτειρήσας προσδέξηται ὑμᾶς ἐν πίστει καὶ ὕδατι. [καὶ ὅσα σοι λέγω, ὦ ᾿Ιουδαῖε, ἤκουσας Λευὶ λέγοντα τοῖς τέκνοις τῶν τέκνων αὐτοῦ ὡς τὸν Κύριον ἐσταυρώσατε αὐτὸς δὲ οἰκτείρει καὶ ἀποδέχεται ὑμᾶς ἁγιάζοντες αὐτοὺς τῷ ὕδατι ἐν τῷ ὀνόματι τοῦ

πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, ἐννόει δὲ ὅτι οὐκ οἰκτερεῖ σε, εἴπερ ἐν αὐτῷ οὐ πιστεύεις καὶ οὐ τὸν βαπτισμὸν ἀποδέχει ἐν τῷ ὀνόματι αὐτοῦ, καὶ γὰρ ὁ Κύριος αὐτὸς εἶπεν ἐν τῷ ἁγίῳ εὐαγγελίῳ ὅτι ὁ μὴ γεννηθεὶς τῷ ὕδατι καὶ τῷ πνεύματι οὐκ ἐλεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Σὺ δέ, ὦ Ἰουδαῖε, περὶ τῶν προγόνων ἐννοῶν ὥστε μὴ ἀπολλύναι τὴν ψυχήν σου, λαβὲ τὸν ἅγιον βαπτισμόν, καὶ γενοῦ ὡς νεόγονον βρέφος ἄνευ μιάσματος ἐν ἁγιότητι. Ἄκουε δέ, ὦ Ἰουδαῖε, περὶ τὴν ἱερατείαν τῷ Θεῷ τοῦ Λευὶ λέγοντος].

XVII. Ἀκούετε, ὦ τέκνα μου, περὶ τῆς ἱερατείας ἐν τίνι μένει ἐστι ἱερατεία· 2. ὁ πρῶτος χριόμενος εἰς τὴν ἱερωσύνην μέγας ἐστι. 3. Ἐν τῷ δευτέρῳ ὁ χριόμενος ἐν πένθει ἀγαπητῶν συλληφθήσεται, καὶ ἡ ἱερωσύνη αὐτοῦ καθαρὰ ἔσται. 4. Ὁ δὲ τρίτος ἱερεὺς ἐν λύπῃ παραληφθήσεται. 5. καὶ ὁ τέταρτος ἐν ὀδύνῃ ἔσται· ὅτι προσθήσει ἐπ' αὐτὸν ἡ ἀδικία εἰς πλῆθος. καὶ πᾶς Ἰσραὴλ μισήσουσιν ἕκαστος τὸν πλησίον αὐτοῦ. 6. Ὁ πέμπτος ἐν σκότει παραληφθήσεται. 7. ὡσαύτως καὶ ὁ ἕκτος καὶ ὁ ἕβδομος. 8. καὶ ἐν παντὶ ἔσται μιασμός, ὃν οὐ δύναμαι εἰπεῖν, ἐνώπιον τῶν ἀνθρώπων· ὅτι αὐτοὶ γνώσονται οἱ ποιοῦντες αὐτά. 9. Διὰ τοῦτο ἐν αἰχμαλωσίᾳ ληφθήσονται, καὶ ἡ γῆ καὶ ἡ ὕπαρξις αὐτῶν ἀφανισθήσεται. 10. [καὶ ἀνακαινοποιήσουσιν οἶκον Κυρίου] καὶ ἐν πέμπτῃ ἑβδομάδι ἐπιστρέψουσιν εἰς γῆν ἐρημώσεως αὐτῶν καὶ ἀνακαινοποιήσουσιν οἶκον Κυρίου. 11. Ἐν δὲ τῷ ἑβδόμῳ ἑβδοματικῷ ἥξουσιν οἱ ἱερεῖς, εἰδωλολατροῦντες, μάχιμοι, φιλάργυροι, ὑπερήφανοι, ἄνομοι, κτηνοφθόροι, ἀσελγεῖς.

XVIII. Καὶ μετὰ τὸ γενέσθαι τὴν ἐκδίκησιν παρὰ Κυρίου, 2. τῇ ἱερατείᾳ τότε ἐγερεῖ Κύριος ἱερέα καινόν, ᾧ πάντες οἱ λόγοι Κυρίου ἀποκαλυφθήσονται καὶ αὐτὸς ποιήσει κρίσιν ἀληθείας ἐπὶ τῆς γῆς ἐν πλήθει ἡμερῶν. 3. καὶ ἀνατελεῖ ἄστρον αὐτοῦ ἐν οὐρανῷ ὡς βασιλεύς, φωτίζων φῶς γνώσεως ἐν ἡλίῳ ἡμέρας· καὶ μεγαλυνθήσεται ἐν τῇ οἰκουμένῃ ἕως ἀναλήψεως αὐτοῦ. 4. Ἐκεῖ ἀναλάμψει ἐν τῇ γῇ καὶ ἐξαρεῖ πᾶν σκότος ἐκ τῆς ὑπ' οὐρανὸν καὶ ἔσται εἰρήνη ἐν πάσῃ τῇ γῇ. 5. οἱ οὐρανοὶ ἀγαλλιάσονται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ ἡ γῆ χαρίσεται καὶ λίμναι εὐφρανθήσονται καὶ ἡ γνῶσις Κυρίου χυθήσεται ἐπὶ τῆς γῆς, ὡς ὕδωρ θαλασσῶν. καὶ οἱ ἄγγελοι τῆς δόξης τοῦ προσώπου Κυρίου χαρίσονται ἐν αὐτῷ. 6. Οἱ οὐρανοὶ ἀνοιγήσονται καὶ ἐκ τοῦ ναοῦ τῆς δόξης ἥξει ὁ ἅγιος μετὰ φωνῆς τοῦ πατρός. 7. Καὶ δόξα ὑψίστου ἐπ' αὐτὸν ῥηθήσεται καὶ πνεῦμα συνέσεως καὶ ἁγιασμοῦ καταπαύσει ἐπ' αὐτὸν ἐν τῷ ὕδατι. 8. Αὐτὸς δώσει τὴν μεγαλωσύνην Κυρίου τοῖς υἱοῖς αὐτοῦ ἐν ἀληθείᾳ εἰς τὸν αἰῶνα· καὶ οὐκ ἔσται διαδοχὴ αὐτοῦ εἰς γενεὰς καὶ γενεὰς ἕως τοῦ αἰῶνος. 9. καὶ χῶραι τῆς ὁσιότητος

αὐτοῦ αὐξήσονται ἐν συνέσει ἐπὶ τῇ γῇ καὶ τῇ χάριτι τοῦ Θεοῦ ὁ Ἰσραὴλ ἁγιασθήσεται· [ἐκλείψει πᾶσα ἁμαρτία] καὶ ἀμαυρωθήσεται ἐν τῇ λύπῃ τῆς ἁγιότητος αὐτοῦ καὶ πᾶσα ἁμαρτία ἐλαττώσεται καὶ οἱ ἄνομοι καταπαύσουσιν εἰς κακά. οἱ δὲ δίκαιοι καταπαύσουσιν ἐν αὐτῷ. 10. *Καὶ γὰρ αὐτὸς ἀνοίξει τὰς θύρας τοῦ παραδείσου καὶ στήσει τὴν ἀπειλοῦσαν ῥομφαίαν κατὰ τοῦ Ἀδάμ.* 11. *καὶ δώσει τοῖς ἁγίοις φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, καὶ πνεῦμα ἁγιωσύνης ἔσται ἐπ' αὐτοῖς.* 12. *Καὶ ὁ Βελίαρ δεθήσεται ὑπ' αὐτοῦ, καὶ δώσει ἐξουσίαν τοῖς τέκνοις αὐτοῦ τοῦ πατεῖν ἐπὶ τὰ πονηρὰ πνεύματα.* 13. *Καὶ εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς τέκνοις αὐτοῦ ἕως τῶν αἰώνων.* 14. *Τότε ἀγαλλιάσεται Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ κἀγὼ χαρίσομαι καὶ πάντες οἱ ἅγιοι ἐνδύσονται δικαιοσύνην.*

XIX. *Καὶ νῦν, τέκνα μου, πάντα ἠκούσατε· ἐλέσθε οὖν ἑαυτοῖς ἢ τὸ σκότος ἢ τὸ φῶς, ἢ νόμον Κυρίου ἢ ἔργα τοῦ Βελίαρ.*

XIII. 1. *Πάντα ἃ ἐννόησα ἐντέλλεσθαι ὑμῖν, καὶ ἕνεκα τούτου φοβεῖσθε τὸν Κύριον τὸν Θεὸν ὑμῶν πάσῃ τῇ καρδίᾳ ὑμῶν καὶ πορεύεσθε ἐν τῇ ἁπλότητι τοῦ νόμου αὐτοῦ.* 2. *καὶ διδάσκετε τοὺς υἱοὺς ὑμῶν τὰ βιβλία, ὅπως ἐννοῶσιν ἐν πάσῃ τῇ ζωῇ αὐτῶν διδαξάμενοι τὸν νόμον τοῦ ἁγιωτάτου Θεοῦ.* 3. *καὶ πᾶς ὁ ἐννοῶν τὸν νόμον τοῦ Κυρίου καθαρὸς ἔσται καὶ οὐ ξένος ἐστὶ ὅπου ἂν ξενίζηται.* 4. *πολλοὶ γὰρ τῶν ἀνθρώπων ἐν τῷ βιβλίῳ τιθέναι τὰ ὀνόματα αὐτῶν θέλουσι ὥστε ἐργάζεσθαι δι' αὐτὸν καὶ ἀκούειν τὸν νόμον ἀπὸ τῶν χειλέων αὐτοῦ.* 5. *Καὶ ἐργάζεσθε τὴν δικαιοσύνην, τέκνα μου, ἐν τῇ γῇ καὶ εὑρήσετε αὐτὴν ἐν τοῖς οὐρανοῖς.* 6. *Καὶ σπείρετε ἐν τῇ ψυχῇ καὶ εὐλογοῦντες καὶ θερίσετε ἐν τῇ ζωῇ ὑμῶν, καὶ σπείραντες ἐν κακῷ κακὸν θερίσετε.* 7. *Ὑμεῖς δέ, τέκνα, τίθεσθε τὴν σοφίαν ἐν τῷ φόβῳ τοῦ Κυρίου σὺν πόνῳ. εἰ δὲ πόλις ἁλίσκεται, ἀποβάλλουσι τὸν χρυσὸν καὶ τὸν ἄργυρον καὶ πᾶν τὸ κέρδος ἀπόλλυται, ἀλλ' οὐδεὶς ἀπὸ τοῦ σοφοῦ ἀφαιρεῖν δύναται τὴν σοφίαν, ἀλλὰ μόνον σκότωσις διὰ τὰς ἁμαρτίας καὶ τύφλωσις τῶν πραγμάτων·* 8. *ἐκ τῆς εὐγενείας αὐτοῦ τότε ἔσται μάχη ἀπὸ τῶν πολεμίων καὶ ὥσπερ πατρὶς ἐν γῇ ἀλλοτρίᾳ καὶ ἐν τοῖς πολεμίοις ἀποστρέψεται.* 9. *εἴ τις τῆς μαθήσεως καὶ σοφίας ἀντιλαμβάνεται ἔσται αὐτὸς ἐπιτραπέζιος τοῖς βασιλεῦσιν ὡς ὁ ἀδελφὸς ἡμῶν ὁ ἁγνὸς Ἰωσήφ.* XIX. 2. *καὶ ἀπεκρίθησαν οἱ υἱοὶ τοῦ Λευὶ τῷ πατρὶ λέγοντες Ἐνώπιον Κυρίου πορευσώμεθα κατὰ τὸν νόμον αὐτοῦ.* 3. *καὶ εἶπε Λευί· Μάρτυς ἔστω ὁ Κύριος ὅσα ὑπέσχεσθε σήμερον.* 4. *καὶ ταῦτα εἰπὼν ἐκοιμήθη ζήσας ἑκατὸν τριάκοντα ἑπτὰ ἔτη.* 5. *καὶ ἔθηκαν αὐτὸν ἐν σορῷ, καὶ ὕστερον ἔθαψαν αὐτὸν ἐν Χεβρῶν ὅπου Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ.*

ΔΙΑΘΗΚΗ ΙΟΥΔΑ

I. 1, 2, 3. Μετὰ ταῦτα Ἰούδα, τέταρτος υἱὸς Ἰακώβ, υἱὸς Λέας ἐκαλέσατο τοὺς υἱοὺς αὐτοῦ πρὸς ἑαυτὸν καὶ εἶπε, Τέκνα μου, πρὸ τοῦ ἀποθανεῖν ἐμέ, λέξω σοι τὰ ἔργα μου, ὅτε κράτος ἦν ἐν τῷ στέρνῳ 3..καὶ ταχὺς ἦν τοῖς ποσὶ καὶ κρατερὸς τῷ σώματι, [πολλοὶ τῶν πολεμίων οὐκ ἀνέσχον τοὺς ἐμοὺς βραχίονας καὶ ἐνίκησα κράτος πόλεως οὐκ εἰκούσης] III. 10. καὶ εἶδεν ὁ πατήρ μου Ἰακὼβ ὡς ὁ ἄγγελος τοῦ κρατεροῦ ἐβοήθησέ μοι περὶ τῆς ἀνδρείας καὶ προσεῖχεν αὐτοῖς τὸν νοῦν.

XVIII. 1. Εἶδον γὰρ ἐν τοῖς βιβλίοις τοῦ Ἐνώχ, ὅσα κακὰ ποιεῖται ἐν ταῖς ἐσχάταις ἡμέραις, 2. ἀλλὰ σώσατε ὑμᾶς ἑαυτούς, τέκνα μου, ἀπὸ πάσης πορνείας καὶ φιλαργυρίας, 3. ἥτις ἀποστερεῖ τοῦ νόμου τοῦ Κυρίου, καὶ ἐκτυφλοῖ τὰ ἐννοήματα τῆς ψυχῆς, καὶ οὐκ ἀφίει ἄνδρα ἐλεῆσαι τὸν πλησίον αὐτοῦ. 4. καὶ συνέχει αὐτὸν ἐν μόχθοις καὶ πόνοις. XIX. 2. Διὰ ἀργύριον ἐγὼ ἀπώλεσα τὰ τέκνα μου, καὶ εἰ μὴ ἡ μετάνοια σαρκός μου καὶ ἡ ταπείνωσις ψυχῆς μου, καὶ αἱ εὐχαὶ Ἰακὼβ τοῦ πατρός μου, ἄτεκνος εἶχον ἀποθανεῖν. 3. Ἀλλ' ὁ Θεὸς τῶν πατέρων μοῦ ὁ οἰκτίρμων καὶ ἐλεήμων, συνέγνω ὅτι ἐν ἀγνοίᾳ ἐποίησα. 4. Ἐτύφλωσε γάρ με ὁ ἄρχων τῆς πλάνης καὶ ἠγνόησα ὡς ἄνθρωπος καὶ ὡς σάρξ, ἐν ἁμαρτίαις φθαρείς, καὶ ἐπέγνων τὴν ἐμαυτοῦ ἀσθένειαν νομίζων ἀκαταμάχητος εἶναι XIII. 3. ὠνείδισα τὸν ἀδελφὸν Ῥουβὴμ περὶ Βάλλας τῆς γυναικὸς τοῦ πατρός, καὶ πολλάκις ἐκόμπαζον ἐν τοῖς ἀδελφοῖς τῷ σθένει τῶν πραγμάτων τῆς νεότητος οὐκ ἀπάντησεν ἐμοὶ πρόσωπον γυναικὸς εὐμόρφου ἀλλὰ τὸ πνεῦμα τοῦ ζήλου παρετάξατο ἐν ἐμοὶ καὶ ἐτύφλωσεν ἕως συνέπεσα εἰς Βησσουὲ τὴν Χαναναίαν. 6. οἶνος γὰρ διέστρεψε τοὺς ὀφθαλμούς μου, καὶ ἠμαύρωσέ μου τὴν καρδίαν ἐπιθυμίᾳ. 7. καὶ παραβὰς τὸν νόμον τοῦ Θεοῦ συνέπεσα. 8. καὶ ἀνταπέδωκέ μοι Κύριος ὅτι οὐκ ηὐφράνθην ἐπὶ τοῖς τέκνοις αὐτῆς.

XIV. Καὶ νῦν, τέκνα μου, μὴ μεθύσκεσθε οἴνῳ· ὅτι ὁ οἶνος διαστρέφει τὸν νοῦν ἀπὸ τῆς ἀληθείας, καὶ ἐμβάλλει νόημα ὀργῆς, καὶ ὁδηγεῖ εἰς πλάνην τοὺς ὀφθαλμούς. 2. Τὸ γὰρ πνεῦμα τῆς πορνείας τὸν οἶνον ὡς διάκονον πρὸς τὰς ἡδονὰς ἔχει· ὅτι καίγε τὰ δύο ταῦτα ἀφιστῶσι τὴν δύναμιν τοῦ ἀνθρώπου. 3. Ἐὰν γάρ τις πίῃ οἶνον εἰς μέθην ἐν διαλογισμοῖς ῥυπαροῖς συνταράσσει τὸν νοῦν εἰς πορνείαν καὶ ἐκθερμαίνει τὸ σῶμα πρὸς μίξιν, καὶ εἰ πάρεστι τὸ τῆς ἐπιθυμίας αἴτιον πράσσει τὴν ἁμαρτίαν καὶ οὐκ αἰσχύνεται 4. ὁ γὰρ μεθύων οὐδένα αἰδεῖται. 5. Ἰδοὺ γὰρ (ὁ οἶνος) κἀμὲ ἐπλάνησε μὴ αἰσχυνθῆναι πλῆθος ἐπὶ ταῖς πύλαις, ὅτι ἐν ὀφθαλμοῖς πάντων ἐξέκλινα πρὸς τὴν Θάμαρ,

οὖσαν νύμφην, καὶ ἐποίησα ἁμαρτίαν 6. ἐν μέθῃ. καὶ οὐκ ἐφοβούμην τὴν ἐντολὴν τοῦ Κυρίου. 5. καὶ ἀνεκάλυψα κάλυμμα πᾶσιν ἐν ταῖς ἁμαρτίαις μου. 7. Καὶ νῦν, τέκνα, μὴ μεθύσκητε παρὰ φύσιν τὴν σύνεσιν ὑμῶν 8. εἴπερ μεταβάλλετε τὸν διαλογισμὸν τῆς συνέσεως ὑμῶν μέθῃ, τὸ πνεῦμα τῆς πορνείας εἰσπορεύεται εἰς (ἄνθρωπον) καὶ ποιεῖ τὸν μέθυσον αἰσχρορημονεῖν καὶ παρανομεῖν, καὶ μὴ αἰσχύνεσθαι, ἀλλὰ ἐγκαυχᾶσθαι τῇ ἀτιμίᾳ αὐτοῦ.

XV. Καὶ κατηγορούμενος οὐ ταπεινοῦται διὰ τὴν ἀτιμίαν μέμνησθε ὡς τὰ ἀγαθὰ λέγειν. 2. εἰ γὰρ βασιλεύς τις μένει μεθυσκόμενος καὶ πορνείᾳ παρέχει ἑαυτὸν γυμνούμενος ἐκ τῆς βασιλείας ταχέως ἐκπίπτει. 5. Καὶ ἔδειξέ μοι ὁ ἄγγελος τοῦ Κυρίου ὅτι τῶν ζώντων ἐν μέθῃ, ἢ βασιλέων ἢ πτωχῶν αἱ γυναῖκες κατακυριεύουσιν καὶ τοῦ μὲν βασιλέως αἴρουσιν τὴν δόξαν, τοῦ δὲ ἀνδρείου τὴν δύναμιν καὶ τοῦ πτωχοῦ ἐν τῇ πτωχείᾳ τέλειον στήριγμα.

XVI. Φυλάσσεσθε οὖν, τέκνα μου, τὰ χείλη ἐν μέθῃ, ἐστὶ γὰρ ἐν αὐτῇ τέσσαρα πνεύματα πονηρὰ ἐπιθυμίας, πυρώσεως ἀσωτίας, αἰσχροκερδίας, [ἀναιδείας]. 2. Εἰ μὴ πίνετε σὺν τῷ φόβῳ τοῦ Θεοῦ. Ἐὰν γὰρ ἐν τῷ εὐφραίνεσθαι ἀποστῇ ὁ τοῦ Θεοῦ φόβος, παρεισέρχεται ἡ ἀναισχυντία [καὶ ἀρχὴ τῆς ἁμαρτίας]. 3. Καὶ γίγνονται ἀντιλογίαι τὴν ὀργὴν γεννήσαντες, συκοφαντίαις μωραινόμενοι, καὶ γίγνεται παράβασις ἐντολῶν Θεοῦ καὶ ἔσται ἀπώλεια οὐκ ἐν καιρῷ ὑμῶν. 4. ὡς κἀγὼ ἐντολὰς Θεοῦ καὶ μυστήρια Ἰακὼβ τοῦ πατρός μου ἀπεκάλυψα τῇ Χαναανίτιδι, οἷς εἶπεν ὁ Θεὸς μὴ ἀποκαλύψαι.

XVII. Καὶ νῦν ἐντέλλομαι ὑμῖν, τέκνα μου, [μὴ μεθύσκεσθαι οἴνῳ καὶ] μὴ ἀγαπᾶν ἀργύριον, μηδὲ ἐμβλέπειν εἰς κάλλος γυναικῶν ἐν τῇ ὄψει, ἐγὼ γὰρ ἐν μέθῃ εἶδον τὴν Χαναναίαν ὅλως ἐν λαμπρῷ χρυσῷ καὶ ἐπλανήθην δι' αὐτὴν ὡς ἄνθρωπος ὢν ἐν μέθῃ καὶ τῇ ὄψει αἴτιος ἐγενόμην.

XVIII. 2. Καὶ νῦν, τέκνα μου, ἀκούσατε Ἰούδα τοῦ πατρὸς ὑμῶν, καὶ φυλάξασθε ἀπὸ τῆς φιλαργυρίας καὶ μέθης· 3. ὅτι ταῦτα ἀφιστᾷ (νόμου Θεοῦ) καὶ ὑπερηφανίαν ἐκδιδάσκει· 4. καὶ στερίσκει τὴν ψυχὴν αὐτοῦ ἀπὸ πάσης ἀγαθοσύνης, καὶ ἀφιστᾷ ὕπνον ἀπ' αὐτοῦ καὶ καταδαπανᾷ σάρκας αὐτοῦ. 5. καὶ τὰς εὐχὰς Θεοῦ ἐμποδίζει καὶ εὐλογίας οὐ μέμνηται, καὶ προφήτῃ λαλοῦντι οὐχ ὑπακούει, καὶ λόγῳ εὐσεβείας προσοχθίζει. 6. καὶ ἐν ἡμέρᾳ ὡς ἐν νυκτὶ πορεύεται.

XII. 3, 4, 6. Ἐγὼ δὲ μωραινόμενος τῇ μέθῃ ἐδήλωσα τὰ μυστήρια τῆς καρδίας μου καὶ ἔδωκα τὴν ῥάβδον καὶ τὸ διάδημα τῆς βασιλείας μου τῇ Θάμαρ τῇ νύμφῃ μου, [ἠγνόησα γὰρ ὅτι Θάμαρ ἦν πόρνη, αἱ γὰρ ἀπὸ Μεσοποταμίας ἦσαν θυγατέρες Ἀβραάμ]. X. 1, 2. καὶ ἔδωκα

αὐτὴν τῷ υἱῷ Ἦρ ἐς γάμον καὶ Ἦρ ἦν σκολιὸς καὶ ἠμέλησε τῆς Θάμαρ. αὐτοῖς οὐκ ἦν μοῖρα ἐκ γαίας Χαναάν, καὶ ὁ ἄγγελος τοῦ Θεοῦ ἔκτεινεν αὐτὸν ἐν τῇ τρίτῃ νυκτί. 3. καὶ οὐκ ἐγίνωσκεν αὐτὴν διὰ τῆς σκολιότητος, οὐ γὰρ ἤθελεν ἔχειν ἐξ αὐτῆς τέκνα. 4. ἐν ταῖς ἡμέραις τοῦ γάμου· 1. ἦν γὰρ ἐκ Μεσοποταμίας, θυγάτηρ Ἀράμ. καὶ ἔδωκα αὐτὴν τῷ υἱῷ μου Ἦρ εἰς γάμον. 2. Ἦν δὲ Ἦρ πονηρὸς καὶ ἠπορεῖτο περὶ τῆς Θάμαρ ὅτι οὐκ ἦν ἐκ γῆς Χαναάν. Καὶ ἄγγελος Κυρίου ἀνεῖλεν αὐτὸν τῇ τρίτῃ νυκτί. 3. καὶ αὐτὸς οὐκ ἔγνω αὐτήν, κατὰ πανουργίαν τῆς μητρὸς αὐτοῦ, οὐ γὰρ ἤθελεν ἔχειν τέκνα ἀπ' αὐτῆς. 4. Ἐν ταῖς ἡμέραις τοῦ θαλάμου ἐπεγάμβρευσα αὐτῇ τὸν Αὐνᾶν, τῷ δευτέρῳ υἱῷ μου, καί γε οὗτος ἐν πονηρίᾳ οὐκ ἔγνω αὐτὴν ποιήσας σὺν αὐτῇ ἐνιαυτόν, 5. καὶ ὅτε ἠπείλησα αὐτῷ συνελθεῖν τάσσων αὐτῇ, διέφθειρε τὸ σπέρμα ἐπὶ τὴν γῆν κατὰ τὴν ἐντολὴν τῆς μητρὸς αὐτοῦ, ἀλλὰ ταύτης τῆς πονηρίας γενομένης, 6. ἤθελον καὶ τὸν Σιλὼμ δοῦναι αὐτῇ, τὸν τρίτον υἱόν, ἀλλ' ἡ γυνή μου Βησσουὲ οὐκ ἀφῆκεν· ἐπονηρεύετο γὰρ πρὸς τὴν Θάμαρ, ὅτι οὐκ ἦν ἐκ θυγατέρων Φαραὼν ὡς αὐτή.

XII. 1. [Σπουδὴ γὰρ ἦν τῇ Θάμαρ ἔχειν τέκνα ἀπὸ τῆς γενεᾶς τοῦ Ἀβραάμ. Ἡ γὰρ γενεὰ τοῦ Ἀβραὰμ ἦν προστεταγμένη καὶ ἠναγκάσθη] ἡ Θάμαρ καθῆσθαι ἐπὶ ταῖς πύλαις, ὡς πόρνη, κοσμηθεῖσα κόσμῳ νυμφικῷ [καὶ φθάσασα τὴν ὁδόν μου], ὅτι ἀνέρχομαι ἀπὸ τῶν προβάτων. 3. Μεθυσθεὶς οὖν ἐγὼ οὐκ ἀπέγνων αὐτὴν ἀπὸ τοῦ οἴνου, καὶ ἠπάτησέ με τὸ κάλλος αὐτῆς, 4. καὶ ἔδωκα αὐτῇ τὴν ῥάβδον καὶ τὴν ζώνην, καὶ ἐπλησιάσθη ἐμοί, [καὶ εἶχεν ἐν τῇ κοιλίᾳ τοὺς διδύμους Φαρὲς καὶ Ἀζάρ, καὶ ἦν μυστήριον φαινόμενον ἐν τῷ τεκεῖν τὴν Θάμαρ, ἐπεὶ τὸ πρῶτον τέκνον ἐξετίθη τὴν χεῖρα, ἡ μαιεύτρια ἐδέσμευσε νῆμα κόκκινον ἐπὶ τῇ χειρί, τῇ ὠθημένῃ, ὥστε εἰδέναι τὸ τέκνον ὁ πρῶτον ἐγένετο. καὶ τὸ τέκνον ἐκάλυψε τὴν χεῖρα καὶ ἦν τὰ τέκνα ἀγγελία τοῖς λαοῖς παλαιῶν καὶ καινῶν, ὡς γὰρ ἦν τὰ παλαιὰ πρὸ τοῦ νόμου ὄντα ἀνώρθει κατὰ τὸν νόμον, ὡς εἰ τῷ νόμῳ συντηρούμενα. ἐννόει δὲ τὸν Ἄβελ καὶ τὸν Σὴθ καὶ Ἐνὼχ καὶ Ἐνώς, Νῶε καὶ Ἐβὲρ καὶ οὕτως τὸν Ἀβραὰμ ὃς ἔλειψε τὸν πατέρα χάριν τοῦ Θεοῦ, Ἰώβ τε καὶ Μελχισεδέκ, καὶ οὕτως οἱ ἄλλοι προφῆται, οἳ ἐλάλησαν περὶ τῆς ἐλεύσεως τοῦ Χριστοῦ. ἀλλὰ ὡς ἔκρυψε τὴν χεῖρα ἐν τῇ κοιλίᾳ, οὕτως τοῦ νόμου κρυπτομένου καὶ ἀτιμαζομένου ἐγεννήθη ὁ Φαρές. καὶ τότε ἐξῆλθεν ὁ Ζαρὰ καὶ ἐφαίνετο τὸ νῆμα τὸ κόκκινον, τὸ σημαινόμενον τῷ αἵματι τοῦ Χριστοῦ].

XX. Καὶ ἐπίγνωτε, τέκνα μου, ὅτι δύο πνεύματα σχολάζουσι τῷ ἀνθρώπῳ τὸ τῆς ἀληθείας καὶ τὸ τῆς πλάνης. 2. μέσον ἐστὶ τὸ τῆς συνέσεως τοῦ νοός, πρὸς ταύτης θέλει ἡ εἰλικρινὴς κλίνεσθαι καὶ

κλίνεται πρὸς τὴν καρδίαν τοῦ ἀνθρώπου καὶ ἕκαστος γιγνώσκει τὴν φωνήν. 4. καὶ οὐκ ἔστι καιρὸς ἐν ᾧ δυνήσεται λαθεῖν ἄνθρωπων ἔργα. ὅτι ἐν στήθει ὀστέων αὐτὸς ἐγγέγραπται ἐνώπιον Κυρίου. 5. καὶ ὁ ἁμαρτωλὸς ἐκ τῆς καρδίας αὐτοῦ, καὶ ἆραι πρόσωπον οὐ δύναται πρὸς τὸν κριτήν. XXI. 1, 2. Καὶ νῦν, τέκνα, ἀγγέλλω ὑμῖν ὡς ὁ Θεὸς ἔδωκε τὴν ἱερατείαν τῷ Λευΐ, καὶ ἐμοὶ ἔδωκε τὴν βασιλείαν. XXII. 1. [Μεγάλη μὲν ἦν μοι ταραχὴ καὶ μετὰ ταῦτα ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις] πολλοὶ ἔσονται πόλεμοι ἐν τῷ Ἰσραὴλ καὶ κατ' ἀλλήλων, καὶ ἔσονται διαιρέσεις. XXIII. 3. καὶ ἐλεύσεται λιμὸς καὶ λοιμός. καὶ τὰ τέκνα ὑμῶν πείσεται πολιορκίαν καὶ πάντας τοὺς ὀλέθρους. 4. καὶ ἐκτεμοῦσιν ἐξ ὑμῶν εἰς εὐνούχους ταῖς γυναιξὶν αὐτῶν. 5. Καὶ ἐπισκέψεται ὑμᾶς Κύριος ἐν ἐλέει, [καὶ ἔσται σωτηρία τῷ Ἰσραήλ, ἐν τῇ παρουσίᾳ τοῦ Θεοῦ τοῦ ἀληθοῦς].

XXIV. Καὶ μετὰ ταῦτα ἀνατελεῖ ὑμῖν ἄστρον ἐξ Ἰακὼβ ἐν εἰρήνῃ, καὶ ἀναστήσεται ἄνθρωπος ἐκ τοῦ γένους μου ὡς ὁ ἥλιος τῆς δικαιοσύνης, συμπορευόμενος τοῖς ἀνθρώποις ἐν δικαιοσύνῃ καὶ πραότητι, καὶ πᾶσα ἁμαρτία οὐχ εὑρεθήσεται ἐν αὐτῷ. 2. Καὶ ἀνοιγήσονται ἐπ' αὐτὸν οἱ οὐρανοὶ ἐκχέαι πνεύματος εὐλογίαν πατρὸς ἁγίου καὶ αὐτὸς ἐκχεεῖ πνεῦμα χάριτος ἐφ' ὑμᾶς. 4. καὶ ἔσεσθε αὐτῷ εἰς υἱοὺς ἐν ἀληθείᾳ καὶ πορεύσεσθε ἐν προστάγμασι αὐτοῦ πρώτοις καὶ ἐσχάτοις. 5. οὗτος ὁ βλαστὸς Θεοῦ ὑψίστου καὶ αὕτη ἡ πηγὴ εἰς ζωὴν πάσης σαρκός. 6. Τότε ἀναλάμψει σκῆπτρον βασιλείας μου, καὶ ἀπὸ τῆς ῥίζης ὑμῶν γενήσεται πυθμήν, 7. καὶ ἐν αὐτῷ ἀναβήσεται ῥάβδος δικαιοσύνης τοῖς ἔθνεσι κρῖναι καὶ σῶσαι πάντας τοὺς ἐπικαλουμένους Κύριον.

XXVI. 4. Καὶ ταῦτα εἰπὼν ἐξέδωκε τὴν ψυχὴν Ἰούδας ὁ υἱὸς τοῦ Ἰακὼβ τέταρτος καὶ τῆς Λίας, ζήσας ἔτη ἑκατὸν καὶ ἐννέα καὶ δέκα· καὶ ἐξέφερον αὐτὸν οἱ υἱοὶ αὐτοῦ καὶ ἔθαψαν αὐτὸν ἐν Χεβρὼν μετὰ τῶν πατέρων αὐτοῦ.

ΔΙΑΘΗΚΗ ΙΣΑΧΑΡ ΠΕΡΙ ΑΠΛΟΤΗΤΟΣ

I. Μετὰ ταῦτα Ἰσαχὰρ καλέσας τοὺς υἱοὺς αὐτοῦ εἶπεν αὐτοῖς. ἀκούσατε, τέκνα Ἰσαχὰρ τοῦ πατρὸς ὑμῶν, ἐνωτίσασθε ῥήματα. 2. Ἐγὼ ἐτέχθην πέμπτος υἱὸς τῷ Ἰακὼβ ἐν μισθῷ τῶν μανδραγορῶν.

III. 1. [Καὶ πρὸς τούτοις εἶπεν· οὐκ οἴδατε], τέκνα μου, ὡς ἐπορευόμην ἐν εὐθύτητι καρδίας 5. καὶ πᾶς πόνος ἀνήλωσε τὸ κράτος μου. 7. Καὶ Κύριος ἐδιπλασίαζε τὰ ἀγαθὰ ἐν χερσί μου. πατρί μου πᾶν ἐποίησα τερπνὸν καὶ ἐν οὐδενὶ παρώργισα τὴν καρδίαν αὐτοῦ. καὶ ἐγὼ [ἔφερον] πᾶν τὸ βάρος τοῦ θελήματος αὐτοῦ. ἐγὼ ἦν ὁ φέρων ὑπὲρ μέτρον, καὶ εἶδεν ὁ πατὴρ ἐμὸς ὅτι ὁ Θεὸς συνεργεῖ τῇ ἁπλότητί

μου. 3. Καὶ οὐκ ἤμην περίεργος ἐν ταῖς πράξεσί μου οὐδὲ φθονερὸς καὶ βάσκανος τῷ πλησίον, 4. οὐ κατελάλησά τινος, οὐδὲ ἔψεξα βίον ἀνθρώπου, πορευόμενος ἐν ἁπλότητι ὀφθαλμῶν.

IV. Καὶ νῦν ἀκούσατε, τέκνα Ἰσαχὰρ πατρὸς ὑμῶν, καὶ πορεύεσθε ἐν ἁπλότητι καρδίας. 2. Οἱ ἐν ἁπλότητι βαίνοντες οὐ θέλουσι τὸ μιαρόν, οὐκ ἐπιθυμοῦσι εὑρεῖν τοὺς θησαυροὺς τοὺς πολυτίμους. οὐ θέλουσι εἰς πλεονεξίαν, τοῦ πλησίον οὐ κατακρίνουσιν, καὶ οὐκ ἐπιφέρουσι τὸ ὄνειδος κατ' ἀνθρώπου, βρωμάτων ποικίλων οὐκ ἐφίεται. 3. χρόνους μακροὺς οὐχ ὑπογράφει ζῆν, ἀλλὰ μόνον ἐκδέχεται τὸ θέλημα τοῦ Θεοῦ [ἐν τῇ εὐγενείᾳ τῆς ταπεινοφροσύνης αὐτοῦ]. 4. καί γε τὰ πνεύματα τῆς πλάνης οὐδὲν ἰσχύουσι πρὸς αὐτόν, οὐ γὰρ εἶδεν ἐπιδέξασθαι κάλλος θηλείας, ἵνα μὴ ἐν διαστροφῇ μιαίνῃ τὸν νοῦν αὐτοῦ· 5. οὐ ζῆλος ἐν διαβουλίοις αὐτοῦ ἐπελεύσεται· οὐ βασκανία ἐκτήκει ψυχὴν αὐτοῦ οὐδὲ αἰσθάνεται τὰ στασιώδη. 6. πάντα ὁρᾷ ἐν ἁπλότητι, καὶ οὐ λήψεται πονηρὸν ὀφθαλμόν· οὐ πορεύεται ἐν τῷ κέρδει πορεύεται ἐν τῇ εὐθύτητι τῆς ψυχῆς V. καὶ φυλάττων τὸν νόμον τοῦ Κυρίου, καὶ ὑμεῖς, τέκνα μου, στῆτε ἐν ἁπλότητι [ἐν πάσαις διανοίαις ὑμῶν καὶ ἀγαπᾶτε αὐτὴν καὶ συμβιοῦτε συν αὐτῇ καὶ κολλήθησθε αὐτῇ] καὶ ἀκούσατε τὰς ἐντολὰς Κυρίου καὶ μὴ ὀνειδίζετε μηδαμῶς τῷ πλησίῳ 2. ἀλλὰ ἀγαπᾶτε τὸν Κύριον καὶ τὸν πλησίον, πένητα καὶ ἀσθενῆ ἐλεᾶτε. 3. Ὑπόθετε τὸν νῶτον ὑμῶν εἰς τὸ γεωργεῖν τὴν γῆν ὑμῶν, καὶ ἀπὸ τῶν ἔργων δῶρα μετ' εὐχαριστείας Κυρίῳ προσφέρετε, 4. καὶ ἀπὸ [τοῦ ἔργου] λήψεσθε εὐλογίαν, ὡς τὸ πρὶν Ἄβελ [καὶ εὐχαριστείαν φέρετε, τέκνα μου], 7. Λευὶ καὶ Ἰούδα, καὶ γὰρ οἱ δύο ἐδοξάσθησαν τῷ Κυρίῳ ἐν πᾶσιν τοῖς υἱοῖς Ἰακώβ, καὶ γὰρ Κύριος ἐκλήρωσεν ἐν αὐτοῖς, καὶ τῷ μὲν ἔδωκε τὴν ἱερατείαν, τῷ δὲ τὴν βασιλείαν.

VI. Ἀκούσατε οὖν, ὡς ὁρᾶτε, τέκνα μου, καὶ γὰρ ἐν ἐσχάτοις καιροῖς καταλείψουσιν οἱ υἱοὶ ὑμῶν τὴν ἁπλότητα καὶ κολληθήσονται τῇ ἀπληστίᾳ, καὶ ἀφέντες τὴν ἀκακίαν προσπελάσουσι τῇ κακουργίᾳ, καὶ καταλίποντες τὰς ἐντολὰς Κυρίου κολληθήσονται τῷ πονηρῷ, 2. καὶ ἀφέντες τὸ γεώργειον ἐξακολουθήσουσι τοῖς πονηροῖς διαβουλίοις αὐτῶν, καὶ διασπαρήσονται ἐν τοῖς ἔθνεσι καὶ δουλεύσουσι τοῖς ἐχθροῖς αὐτῶν. 3. καὶ ὑμεῖς οὖν εἴπατε ταῦτα τοῖς τέκνοις ὑμῶν. VII. 8, 9. καὶ ταῦτα εἰπὼν ἀφῆκε τὴν ψυχὴν αὐτοῦ, ζήσας ἑκατὸν εἴκοσι δύο ἔτη.

ΔΙΑΘΗΚΗ ΖΑΒΟΥΛΩΝ

Ἐπεκαλέσατο Ζαβουλὼν τοὺς υἱοὺς αὐτοῦ πρὸς ἑαυτὸν 2. καὶ εἶπεν αὐτοῖς. Ἀκούσατέ μου, υἱοὶ Ζαβουλών, προσέχετε ῥήμασι πατρὸς ὑμῶν. 3. Ἐγώ εἰμι Ζαβουλών, δόσις ἀγαθὴ τοῖς γονεῦσί μου. Ἐν γὰρ τῷ

γεννηθῆναί με, ηὐξήθη ὁ πατήρ μου ὅτι ἐν ταῖς ποικίλαις ῥάβδοις εἶχε τὸν κλῆρον. 4. οὐκ ἔγνων, τέκνα μου, ὅτι ἥμαρτον, ὅτι παρανομίαν ἐποίησα, πλὴν τῆς ἀγνοίας ἣν ἐποιήσαμεν ἐπὶ τὸν Ἰωσὴφ ἀδελφὸν ἡμῶν, οὐ γὰρ ἦν τὸ θέλημά μου 6. καὶ ἔκλαιον πολλὰ 7. καὶ πολλὰ διεμαρτυρησάμην αὐτοῖς μετὰ δακρύων, τοῦ μὴ ποιῆσαι τὴν ἀνομίαν ταύτην [ἐν τῷ Ἰσραήλ.

II. Καὶ μετὰ ταῦτα οὐκ ἐπαυσάμην θέλειν πολλὰς ἡμέρας τῷ Ἰωσήφ], ὅτε Συμεὼν καὶ Γὰδ ἐθέλησαν ἀνελεῖν αὐτὸν [καὶ ἔδωκα τὴν ψυχήν μου πρὸ τῆς ψυχῆς αὐτοῦ καὶ νῦν ἀναίτιος εἰμὶ τῆς πράσεως τοῦ ἀδελφοῦ ἡμετέρου Ἰωσήφ].

V. Ὑμεῖς δέ, τέκνα μου, ἀκούσατε ἐμοῦ καὶ φυλάσσετε τὰς ἐντολὰς Κυρίου καὶ ποιήσατε ἔλεος ἐπὶ τὸν ἀδελφόν, καὶ εὐσπλαγχνίαν πρὸς πάντας. 2. Διὰ γὰρ ταῦτα εὐλόγησέ με Κύριος, οἶδε γὰρ Κύριος ἑκάστου τὴν προαίρεσιν, 3. ὡς ἔχει ἐν σπλάγχνοις ἔλεος, ὅτι ὡς ἄν τις ποιήσῃ ἐπὶ τὸν πλησίον αὐτοῦ, οὕτως καὶ ὁ Κύριος ποιήσει ἐπ' αὐτόν. 4. Καὶ γὰρ οἱ ἀδελφοί μου ἠσθένουν, καὶ οἱ υἱοὶ ἀπέθνησκον διὰ Ἰωσήφ, ὅτι οὐκ ἐποίησαν ἔλεος ἐν σπλάγχνοις αὐτῶν. [Ὡς γὰρ οὐκ ἐποίησαν ἔλεος ἐν σπλάγχνοις αὐτῶν ἐπὶ τὸν Ἰωσήφ]. Ὑμεῖς δέ, τέκνα μου, ἐσώθητε ἄνοσοι ἀπὸ Κυρίου, καὶ ὑμεῖς αὐτοὶ οἴδατε.

VIII. 5. Καὶ νῦν ἀγαπᾶτε ἀλλήλους, καὶ μὴ λογίζεσθε κακὸν ἐπὶ τὸν πλησίον ὑμῶν, 6. καὶ γὰρ ἡ ἀπέχθεια τὴν ψυχὴν ἀποχωρίζει [ἀπὸ τοῦ σώματος καὶ ἀπελαύνει τὴν εὐλογίαν τοῦ Θεοῦ, ἡ γὰρ ἀπέχθεια εἰσφέρει τὸ μόνον ἓν τέκνον ἔχειν. καὶ εἰσφέρει τὴν λύπην], καὶ ταράττει τὴν ἔννοιαν καὶ ἀφανίζει τὴν ὕπαρξιν.

IX. Προσέχετε δέ, τέκνα, τὰ ὕδατα ὅτι ἐπὶ τὸ αὐτὸ πορεύεται, λίθους ξύλα τὴν γῆν καὶ τὴν ἄμμον κατασύρει, 2. ἐὰν δὲ εἰς πολλὰ διαιρεθῇ ἡ γῆ ἀφανίζει αὐτά. 3. καὶ ὑμεῖς, ἐὰν διαιρεθῆτε ἔσεσθε οὕτως εὐκαταφρόνητοι. 4. Μὴ σχισθῆτε εἰς δύο κεφαλάς, ὅτι πᾶν ὃ ἐποίησεν ὁ Κύριος κεφαλὴν μίαν ἔχει. Ἔδωκε δύο ὤμους, χεῖρας, ἀλλὰ πάντα τῇ μιᾷ κεφαλῇ ὑπακούει. 5. Ἔγνων ἐν γραφαῖς πατέρων μου ὅτι διαιρεθήσεσθε ἐν Ἰσραὴλ καὶ δύο βασιλεῖαι ἐξακολουθήσονται καὶ πᾶν βδέλυγμα ποιήσετε, καί γε πᾶν εἴδωλον προσκυνήσετε. 6. καὶ αἰχμαλωτεύσουσιν ὑμᾶς οἱ ἐχθροὶ ὑμῶν καὶ κακωθήσεσθε ἐν ἔθνεσι καὶ ἐν ἀσθενείαις καὶ θλίψεσι. 7. Καὶ μετὰ ταῦτα μνησθήσεσθε Κυρίου καὶ μετανοήσετε καὶ ἐπιστρέψει ὑμᾶς, ὅτι ἐλεήμων ἐστὶ καὶ εὔσπλαγχνος, μὴ λογιζόμενος κακίαν τοῖς υἱοῖς τῶν ἀνθρώπων, διότι σάρξ εἰσὶ καὶ τὰ πνεύματα τῆς πλάνης ἀπατᾷ αὐτοὺς ἐπὶ πάσαις πράξεσιν αὐτῶν. 8. καὶ μετὰ ταῦτα ἀνατέλλει ὑμῖν αὐτὸς ὁ Κύριος φῶς δικαιοσύνης καὶ ἐπανελεύσεσθε εἰς τὴν γῆν ὑμῶν καὶ ὄψεσθε

Κύριον ἐν Ἰερουσαλήμ. 9. καὶ πάλιν ἐν πονηρίᾳ ἔργων ὑμῶν παροργίσετε αὐτὸν καὶ ἀπορριφήσεσθε ἕως καιροῦ συντελείας.

X. Καὶ νῦν, τέκνα, 2. ὅσοι ὑμῶν ἀκούετε τὰς διαθήκας Ζαβουλὼν πατρὸς ὑμῶν 5. φοβεῖσθε Κύριον τὸν Θεὸν πάσῃ τῇ [ψυχῇ καὶ] ἰσχύϊ, [εἰ δέ τις μὴ ἐννοῇ τοὺς λόγους μου ἐπάξει ἐπ' αὐτὸν Κύριος πῦρ αἰώνιον]. 6. Καὶ ταῦτα εἰπὼν ἐκοιμήθη, ζήσας ἔτη ἑκατὸν καὶ τέσσερα καὶ δέκα, καὶ ἔθηκαν αὐτὸν οἱ υἱοὶ αὐτοῦ ἐν θήκῃ 7. καὶ ἔθαψαν αὐτὸν ἐν τῷ αὐτῷ σπηλαίῳ μετὰ τῶν πατέρων αὐτοῦ.

ΔΙΑΘΗΚΗ ΔΑΝ ΠΕΡΙ ΘΥΜΟΥ ΚΑΙ ΟΡΓΗΣ

I. 2. Καλέσας γὰρ Δὰν υἱοὺς αὐτοῦ πρὸς ἑαυτὸν εἶπε. Ἀκούσατε υἱοὶ Δάν, λόγων μου, προσέχετε ῥήμασι στόματος τοῦ πατρὸς ὑμῶν. 3. Ἐπείρασα ἐν καρδίᾳ μου καὶ ἐν πάσῃ τῇ ζωῇ μου, ὅτι καλὸν Θεῷ καὶ εὐάρεστον ἡ ἀλήθεια ῾μετὰ δικαιοπραγίας· καὶ ὅτι πονηρὸν τὸ ψεῦδος καὶ ὁ θυμὸς καὶ πᾶσαν κακίαν ἀνθρώπους ἐκδιδάσκει. 4. Ὁμολογῶ σήμερον ὑμῖν, τέκνα μου, ὅτι ἐν καρδίᾳ μου ἐβουλευσάμην περὶ τοῦ θανάτου Ἰωσὴφ ἀνδρὸς ἀγαθοῦ καὶ ἀληθινοῦ. 5. καὶ ἔχαιρον ἐπὶ τῇ πράσει Ἰωσήφ, ὅτι ὑπὲρ ἡμᾶς ὁ πατὴρ ἠγάπα. 6. τὸ γὰρ πνεῦμα τοῦ ζήλου (καὶ) διαφθορᾶς εἶπέ μοι· 7. Λαβὲ τὸ ξίφος καὶ ἄνελε τὸν Ἰωσήφ, καὶ ἀγαπήσει σε ὁ πατήρ σου, τοῦ Ἰωσὴφ ἀποθανόντος. 8. τοῦτο εἶπε τὸ πνεῦμα τὸ πονηρὸν ἀνάγκαζον ἐμὲ καὶ ἦν ὥσπερ πάρδαλις ἐκμύζουσα ἔριφον. [οὕτως καὶ ἐγὼ ἐφύλασσον τὸν Ἰωσήφ·] 9. Ἀλλ' ὁ Θεὸς Ἰακὼβ τοῦ πατρός μου οὐκ ἔδωκέ μοι ταύτην τὴν ἀνομίαν ἐργάζεσθαι, οὐδὲ εὗρον τὸν Ἰωσὴφ μόνον.

II. 1. Καὶ νῦν, τέκνα μου, ἐγὼ ἀποθνήσκω καὶ ἐν ἀληθείᾳ λέγω ὑμῖν, ὅτι ἐὰν μὴ διαφυλάξητε ἑαυτοὺς ἀπὸ τοῦ πνεύματος τοῦ ψεύδους καὶ τοῦ θυμουμένου καὶ ἀγαπήσητε τὴν ἀλήθειαν καὶ τὴν μακροθυμίαν, ἀπολεῖσθε. 2. ἡ γὰρ ὀργὴ τυφλίζει τοὺς ἀνθρώπους καὶ ὅταν ἔρχηται ὁ θυμός, 3. οὐ γιγνώσκει τὴν ἀγάπην τῶν ἀδελφῶν. οὐ φοβεῖται τὸν πατέρα, οὐδὲ τιμᾷ τὴν μήτερα, [οὐ πάσχει τὸν γέροντα. οὐκ ἔχει αἰδῶ τῶν λαῶν οὐδὲ οἰκτιρμὸν τῶν τέκνων, ὅτι δεσμεύει αὐτά]. 4. περιβάλλει γὰρ αὐτὸν τὸ πνεῦμα τοῦ θυμοῦ τὰ δίκτυα τῆς πλάνης. καὶ τυφλοῖ τοὺς ὀφθαλμοὺς τῆς καρδίας, διὰ τοῦ ψεύδους σκοτοῖ τὴν διάνοιαν αὐτοῦ, καὶ τὴν ὅρασιν τὴν πονηρὰν παρέχει αὐτῷ. 5. καὶ περιβάλλει τοὺς ὀφθαλμοὺς αὐτοῦ [καὶ οὐ γιγνώσκει τὴν ἀλήθειαν] καὶ δίδωσιν αὐτῷ καρδίαν ἰδίαν κατὰ τοῦ ἀδελφοῦ εἰς φθόνον καὶ ἔχθραν.

III. 2. Καὶ ὁ θυμὸς τῆς ψυχῆς αὐτοῦ κατακυριεύει 3. ὅτε ποιεῖ τὴν ἀνομίαν καὶ δικαιοῖ ἑαυτὸν ἐν τῇ ἀνομίᾳ, [οὐ γὰρ οἶδε τὸν νόμον τοῦ

Θεοῦ, ἐγείρεται καὶ ἡ ὀξύτης τοῦ ξίφους, εἰσέρχεται εἰς τὴν κεφαλήν, καὶ ὅτε ἡ ψυχὴ αὐτοῦ ἀφαιρεῖται ἀπὸ τοῦ σώματος καὶ οὐκ ἐπανέρχεται καὶ τὰ πεποιημένα ἀεὶ πρὸ ὀφθαλμῶν ἔσται ὅτι ἐπείσθη τῇ πονηρᾷ ψυχῇ]. 6. ψυχὴ αὐτοῦ ἀεὶ μετὰ τοῦ ψεύδους ἐκ δεξιῶν τοῦ Σατανᾶ πορεύεται [καὶ ὅτε ὁρᾷ ἄνθρωπον ὀργιζόμενον πελάζεται αὐτῷ καὶ τυφλοῖ αὐτοῦ τὴν ψυχήν].

IV. 2. Καὶ οὕτως διεγείρει ἐν θυμῷ μεγάλῳ τὴν ψυχὴν αὐτοῦ. ['Εννοεῖτε δέ, τέκνα, ὅτι ψυχὴ ἀπὸ τοῦ Σατανᾶ εἰσέρχεται εἰς ἄνθρωπον ὀργιζόμενον, ἐγείρει αὐτὸν μὴ μεμνῆσθαι τοῦ Κυρίου, ἀλλ' ἐργάζεσθαι τὴν ἀνομίαν πρὸ προσώπου τοῦ Θεοῦ καὶ μυρίων ἀγγέλων, ἀλλὰ ὡς λέγεται ἡμῖν οὕτως καὶ ὑμεῖς, τέκνα]. 3. μὴ κινήσθητε εἰς ταραγμοὺς ὀργῆς. 8. ταρασσομένης δὲ ψυχῆς ἀφίσταται Κύριος ἀπ' αὐτῆς καὶ κυριεύει αὐτῆς ὁ Βελίαρ.

V. 1. Φυλάξατε οὖν, τέκνα μου, τὴν ἐντολὴν τοῦ Κυρίου καὶ τὸν νόμον αὐτοῦ. ἀγαπᾶτε καὶ μισήσατε τὸ ψεῦδος, ἵνα φεύγῃ ἀφ' ὑμῶν ἡ ὀργή. 2. 'Αλήθειαν φθέγγεσθε ἕκαστος πρὸς τὸν πλησίον σου [καὶ φεύγεσθε ἀπὸ τοῦ πονηροῦ] καὶ οὐ μὴ κατισχύσῃ ὑμῶν πόλεμος. 3. καὶ ἀγαπᾶτε τὸν Κύριον ἐν πάσῃ τῇ ζωῇ ὑμῶν. 4. Οἶδα γὰρ ὅτι ἐν ἐσχάταις ἡμέραις ἀποστήσεσθε τοῦ Κυρίου ἐν κακοῖς βουλεύμασι πορευόμενοι. 6. 'Ανέγνων γὰρ ἐν βίβλῳ 'Ενὼχ τοῦ δικαίου 8. ὅτι πολλὰς κολάσεις καὶ πληγὰς λήψεσθε 9. καὶ οὕτως ἐπιστρέψαντες πρὸς Κύριον ἐλεηθήσεσθε 12. καὶ ἐπὶ τῆς ἁγίας 'Ιερουσαλὴμ εὐφρανθήσεσθε [καὶ μετὰ ταῦτα τὸ πονηρὸν πνεῦμα ἀπατήσει ὑμᾶς εἰς τὴν ἀνομίαν ὡς εἰ μὴ ἐπικαλούμενοι ἐπὶ τῷ ὀνόματι τοῦ Θεοῦ, ἀκοῦσαι τῶν ἁγίων αὐτοῦ]. 13. ὅτι Κύριος ἔσται ἐμμέσῳ αὐτῆς ('Ιερουσαλὴμ) τοῖς ἀνθρώποις συναναστρεφόμενος καὶ ἅγιος 'Ισραὴλ οὐ γνωρισθήσεται ὑμῖν ἐν ταπεινώσει καὶ ἐν πτωχείᾳ καὶ ὁ πιστεύων ἐπ' αὐτῷ οὐ διαφθερεῖται [καὶ ἄρξονται λαβεῖν τὸν αἰώνιον βίον οἱ ἄγγελοι πιστεύσαντες ἐπ' αὐτῷ].

VI. 3. διὰ τοῦτο σπουδάζει ὁ ἐχθρὸς ὑποσκελίζειν πάντας τοὺς ἐπικαλουμένους τὸν Κύριον, 4. καὶ συντελεῖται ἡ βασιλεία τοῦ ἐχθροῦ. 6. Ἔσται δὲ ἐν καιρῷ ἀνομίας τοῦ 'Ισραὴλ ἀφιστάμενος ἀπ' αὐτῶν Κύριος, καὶ μνήσεται τῶν ἐθνῶν τῶν ποιούντων [ἐργαζομένων] τὸ θέλημα αὐτοῦ, ὅτι οὐδενὶ τῶν ἀγγέλων ἔσται ὡς αὐτῷ. 7. τὸ δὲ ὄνομα αὐτοῦ ἔσται ἐν πᾶσι τοῖς ἔθνεσιν Σωτὴρ 9. ὁ ἀληθὴς καὶ 'Ιερουσαλὴμ πραῢς καὶ ταπεινὸς καὶ διδάσκεται ἐν παντὶ τῷ νόμῳ. V. 6. ὁ Σατανᾶς ἔσται βασιλεὺς ὑμῶν καὶ πᾶσαι αἱ ψυχαὶ ἀνόητοι ἔσονται ἐν μέσῳ ὑμῶν. VI. 9. Καὶ οὕτως ἐπεστειλάμην ὑμῖν, μετάδοτε καὶ ὑμεῖς τοῖς τέκνοις ὑμῶν εἰς ἀεὶ καὶ πειθόμενοι τῷ Θεῷ ἀκούσατε. 10. καὶ γένοιτο τὸ γένος μου εἰς σωτηρίαν εἰς ἀεί.

VII. 1. καὶ ταῦτα εἰπὼν κατεφίλησεν αὐτοὺς καὶ ἐκδίδωσι τὸ πνεῦμα αὐτοῦ. 2. Καὶ οἱ υἱοὶ αὐτοῦ μετὰ ταῦτα ἤνεγκαν αὐτὸν εἰς Χεβρὸν καὶ ἔθηκαν ἐν τῷ αὐτῷ σπηλαίῳ ἐν ᾧ Ἰσαὰκ καὶ Ἰακώβ. 3. καὶ πάντα τὰ ἔτη αὐτοῦ ἑκατὸν καὶ εἴκοσι καὶ πέντε.

ΔΙΑΘΗΚΗ ΝΕΦΘΑΛΕΙΜ Η ΠΕΡΙ ΦΥΣΙΚΗΣ ΑΓΑΘΟΤΗΤΟΣ

I. 1. Ἀντίγραφον διαθήκης Νεφθαλεὶμ υἱοῦ Ἰακώβ, τοῦ ὀγδόου υἱοῦ Βάλλης, τῆς δούλης Ῥαχήλ, περὶ φυσικῆς ἀγαθότητος. 5. Ἀκούσατε ἐμοῦ τοῦ πατρὸς ὑμῶν λέγοντος.

II. 1. Ἐπειδὴ κοῦφος ἤμην τοῖς ποσί μου ὡς ἔλαφος, ἔταξέ με ὁ πατήρ μου Ἰακὼβ εἰς πᾶσαν ἀποστολὴν καὶ ἄγειν καὶ φέρειν καί γε ὡς ἄγγελον εὐλόγησέ με. 2. καὶ γὰρ ὁ κεραμεὺς οἶδε τὸ σκεῦος, πόσον χωρεῖν θέλει ποιῆσαι καὶ οἴσει πηλὸν καὶ ποιεῖν αὐτὸ καθὼς θέλει οὕτω καὶ ὁ Κύριος πρὸς ὁμοίωσιν τοῦ πνεύματος ποιεῖ τὸ σῶμα τοῦ ἀνθρώπου καὶ πρὸς τὴν δύναμιν τοῦ σώματος τὸ πνεῦμα ἐντίθησι. 3. καὶ ἐν μέτρῳ καὶ ἀριθμῷ ἴσον ποιεῖ καὶ οὐκ ἐστὶ λοιπὸν ἓν καὶ τρίτον μέρος τριχὸς ἑκάστῳ ἀνθρώπῳ, οὕτω ὅμοιον ποιεῖ. 5. ὅτι οὐκ ἔστι πᾶν πλάσμα καὶ πᾶσα ἔννοια ἣν οὐκ ἔγνω Κύριος. 6. Ὡς ἡ ἰσχὺς αὐτοῦ, οὕτω καὶ τὸ ἔργον αὐτοῦ· καὶ ὡς ἡ προαίρεσις αὐτοῦ, οὕτω καὶ σύννοια αὐτοῦ καὶ ἡ πρᾶξις αὐτοῦ· ὡς ἡ καρδία αὐτοῦ, οὕτω καὶ τὸ στόμα αὐτοῦ· ὡς ὁ ὀφθαλμὸς αὐτοῦ, οὕτω καὶ ὁ ὕπνος αὐτοῦ. ὡς ἡ ψυχὴ αὐτοῦ, οὕτω καὶ ὁ λόγος αὐτοῦ ἢ ἐν νόμῳ Κυρίου ἢ ἐν νόμῳ Βελίαρ. 7. καὶ ὡς κεχώρισται ἀνάμεσον φωτὸς καὶ σκότους ὁράσεως καὶ ἀκοῆς· οὕτω κεχώρισται ἀνάμεσον ἀνδρὸς καὶ γυναικὸς καὶ οὐκ ἔστιν εἴπειν ὅτι ἐν τῷ ἑνὶ προσώπῳ ὅμοιόν ἐστι. 8. πάντα γὰρ ἐν τάξει ἐποίησεν ὁ Θεὸς καλά, ἐν τῇ μορφῇ τῆς κεφαλῆς συνημμέναι εἰσὶ τρίχες πρὸς δόξαν, εἶτα καρδίαν εἰς φρόνησιν, κοιλίαν εἰς διάκρισιν, στομάχου κάλαμον πρὸς ὑγίειαν, ἧπαρ πρὸς θυμόν, χολὴν πρὸς πικρίαν, ἀκοὴν εἰς γέλωτα, ψύας εἰς δύναμιν, πλευρὰς εἰς θήκην, ὀσφὺν εἰς ἰσχύν, καὶ πάντα καὶ πάσας τὰς αἰσθήσεις. [Φυλάσσετε τὴν ἀγάπην πρὸς τὸν Θεόν, καὶ εἰ φοβεῖταί τις τὸν Θεὸν ὅλῃ τῇ ψυχῇ καὶ πάσας τὰς αἰσθήσεις, ὅτι ὁ Θεός ἐστι καὶ κρατεῖ αὐτῶν· εἴ τις ἀποβάλλει τὴν ἀγάπην τοῦ Θεοῦ, τότε ἐν τῇ διαθέσει αὐτοῦ ἐργάζεσθαι ἄρξουσιν θυμός, λοιδορία, βαρυκαρδία, χόλος, μέθη, πολυφαγία, πορνεία, ζηλοτυπία, ἀπληστία, λοιδορία, φθόνος καὶ πᾶν βδέλυγμα]. 9. πάντα ποιήσαντας ἐν τάξει ἐν φόβῳ Θεοῦ, III. 1. καὶ σιωπῶντας τὰ μέρη τῆς καρδίας τὸ θέλημα τοῦ Θεοῦ κρατεῖν, καὶ ἀπορρίπτειν τὸ θέλημα τοῦ διαβόλου. 2. Ἥλιος γὰρ καὶ σελήνη καὶ ἀστέρες οὐκ ἀλλοιοῦσι τάξιν αὐτῶν, οὕτως καὶ

ὑμεῖς μὴ ἀλλοιώσητε [νόμον Θεοῦ] ἐν ἀταξίᾳ πράξεων ὑμῶν. 3. Ἔθνη γὰρ πλανηθέντα ἔπεσε καὶ ἀφέντα τὸν Κύριον ἠλλοίωσαν τάξιν αὐτῶν καὶ ἐπηκολούθησαν τοῖς εἰδώλοις καὶ ἐξηκολούθησαν πνεύμασι πλάνης. [καὶ τοὺς βίους αὐτῶν ὁδηγοῦσιν ἐν ἀταξίᾳ καὶ ἡ ψυχὴ αὐτῶν γίνεται βρῶμα τῷ Σατανᾶ]. 4. Ὁρᾶτε γάρ, τέκνα μου, γιγνώσκετε τὸ στερέωμα τῆς γῆς καὶ θαλάσσης ἐν πᾶσι τοῖς δημιουργήμασιν, [καὶ] Κύριον τὸν ποιήσαντα ταῦτα πάντα ἵνα μὴ γίνησθε ὡς Σόδομα καὶ Γόμορρα, αἵτινες ἐνήλλαξαν τὰς τάξεις αὐτῶν.

IV. 1. Ταῦτα γὰρ ἐννόησα ἐν ταῖς γραφαῖς (Ἐνώχ), ὅτι καί γε καὶ ὑμεῖς ἀποστήσεσθε ἀπὸ τοῦ νόμου Κυρίου, καὶ ἄρξεσθε πορεύεσθαι κατὰ πᾶσαν ἀνομίαν τῶν ἐθνῶν. 2. Καὶ ἐπάξει ὑμῖν Κύριος αἰχμαλωσίαν, καὶ δουλεύσετε ἐκεῖ τοῖς ἐχθροῖς ὑμῶν καὶ κακώσει (καὶ) θλίψει ζήσετε ἕως ἂν κατακρίνῃ Κύριος πάντων ὑμῶν. 3. καὶ οὕτως ἐπιστρέψετε καὶ ἐπιγνώσεσθε Κύριον τὸν Θεὸν ὑμῶν καὶ ἐπιστρέψει ὑμᾶς εἰς τὴν γῆν ὑμῶν κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος. 4. καὶ ὅτε ἔσεσθε ἐν τῇ γῇ ὑμῶν, πάλιν ἁμαρτήσεσθε καὶ Κυρίου ἐπιλήσεσθε. 5. Καὶ ἡ μακροθυμία τοῦ Κυρίου ἐλεύσεται [ὡς] ἄνθρωπος ποιῶν δικαιοσύνην ἀπὸ τῆς γενεᾶς Ἰούδα, καὶ ποιῶν ἔλεος εἰς πάντας τοὺς μακρὰν καὶ τοὺς ἐγγύς.

VIII. 2. Διὰ τούτου γὰρ ἀνατελεῖ σωτηρία, καὶ ἐν αὐτῷ εὐλογοῦνται Ἀβραάμ, Ἰσαάκ, Ἰακώβ. 3. τὸ σκῆπτρον γὰρ αὐτοῦ φανεῖται, ὁ Θεὸς τῆς ζωῆς ἐν τοῖς οὐρανοῖς καὶ ἐν τῇ γῇ σώζει καὶ ἐκλέγει τοὺς ἁγίους, [ἀλλ' ὑμεῖς οὐκ ἀκούσαντες αὐτοῦ διασπερεῖσθε κατὰ τὸ πρόσωπον πάσης τῆς γῆς· ὑμῖν γὰρ ἐν τοῖς πρώτοις ἦν βασιλεία ἐπαγγελλομένη], 4. καὶ ὁ Θεὸς δοξάζεται ἐν τοῖς ἔθνεσι δι' ὑμᾶς· [ὑμεῖς γὰρ ἐννοούμενοι ἠκούσατε τοῦτο] καὶ ὁ Κύριος ἐλεεῖ ὑμᾶς, καὶ οἱ ἄγγελοι ἐλεοῦσιν· [ὑμεῖς εἰ δὲ μὴ ἀκούετε αὐτοῦ, κοινωνοὶ ἔσεσθε τῶν βασάνων· τοῖς δὲ ἀκούουσι ἑτοιμάζονται οἱ θρόνοι καὶ ἡ δόξα ἐν τοῖς οὐρανοῖς].

IX. 1, 2. Καὶ ταῦτα εἰπὼν τὴν ψυχὴν ἀπέδωκεν ὁ Νεφθαλείμ, ὁ ὄγδοος υἱὸς Ἰακὼβ καὶ υἱὸς Βάλλης· ἔζη ἑκατὸν καὶ τριάκονα καὶ δύο ἔτη καὶ ἐτάφη ἐν Χεβρὼν ἐν τῷ αὐτῷ σπηλαίῳ.

ΔΙΑΘΗΚΗ ΓΑΔ ΠΕΡΙ ΜΙΣΟΥΣ

I. 1. Ἀντίγραφον διαθήκης Γὰδ περὶ μίσους, ἐκαλέσατο γὰρ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπε· 2. Ἔνατος υἱὸς ἐγενόμην τῷ Ἰακώβ, καὶ ἤμην ἀνδρεῖος ἐπὶ τῶν ποιμνίων. 3. Ἐγὼ ἐφύλαττον ἐν νυκτὶ τὸ ποίμνιον καὶ ἐπεὶ ἤρχετο ἐν νυκτὶ λέων ἢ ἕτερον θηρίον ἔκτεινα αὐτόν, 7. καὶ ἅπαξ ἄρνον ἐξειλόμην ἐκ τοῦ στόματος θηρίου καὶ ἐθανάτωσα καὶ ἔφαγον. 6. καὶ ὁ ἀδελφός μου Ἰωσὴφ ἰδὼν εἶπε τῷ πατρί, λέγων·

κτείνας πρόβατον οὐκ ἔδωκε τοῖς υἱοῖς Ζέλφας καὶ Βάλλας. 8. καὶ ἐνεκότουν τῷ Ἰωσὴφ περὶ τοῦ λόγου τούτου, 9. καὶ τὸ πνεῦμα τοῦ θυμοῦ ἦν ἐν ἐμοὶ καὶ οὐκ ἤθελον οὔτε δι' ὀφθαλμῶν οὔτε δι' ἀκοῆς ἰδεῖν τὸν Ἰωσήφ.

II. 2, 3. Καὶ ἠθέλησα ἐξελαύνειν βίον αὐτοῦ ἐκ τῆς γῆς, ὥσπερ βοῦς χαράσσει ὄγμον ἀρούρας· καὶ ἐγὼ καὶ ὁ Συμεὼν ἐπωλήσαμεν τοῖς Ἰσμαηλίταις.

III. 1. Καὶ νῦν ἀκούσατε, τέκνα μου, λόγους ἀληθείας τοῦ ποιεῖν δικαιοσύνην, καὶ πάντα νόμον ὑψίστου, καὶ μὴ πλανᾶσθαι τῷ πνεύματι τοῦ μίσους, ὅτι κακόν ἐστιν παντὶ ἀνθρώπῳ. 2. πᾶν γὰρ ὃ ἐὰν ποιῇ μισούμενόν ἐστι βδέλυγμα. ἐὰν ποιῇ νόμον Κυρίου, τοῦτον οὐκ ἐπαινεῖ, [τὸ γὰρ πνεῦμα τοῦ μίσους οὐ] θέλει τὴν δικαιοσύνην. ἐάν τις φοβῆται Κύριον, τότε ἀγαπᾷ 3. λοιδορεῖν τὴν ἀλήθειαν αὐτοῦ, τοῦ τὸν νόμον δικαιοῦντος καταφρονεῖ, καταλαλιὰν ἀσπάζεται, ὑπερηφανίαν ἐπαινεῖ, ὅτι τὸ πνεῦμα τοῦ μίσους ἐτύφλωσε τὴν ψυχὴν αὐτοῦ, [ὥστε μὴ μεμνῆσθαι τοῦ Θεοῦ].

IV. 2. Οὐ θέλει ἀκούειν τοὺς λόγους νουθετήσεως περὶ τῆς ἀγάπης τῶν ἀδελφῶν. 3. ἐὰν γὰρ πταίσῃ, ὁ ἀδελφὸς εὐθὺς ἀγγέλλει πᾶσι, καὶ κολασθεὶς ἀποθανεῖται. 6. ὁ ποιῶν τὰ ἀγαθὰ ἀεὶ σπουδάζει, ὡς ἀγαπῶν καὶ θέλων τοὺς νεκροὺς ζωοποιῆσαι, καὶ τοὺς ἐν ἀποφάσει θανάτου θέλει ἀνακαλέσασθαι, οὕτως τὸ μῖσος τοὺς ζῶντας θέλει ἀποκτεῖναι, καὶ τοὺς ἐν ὀλίγῳ ἁμαρτήσαντας οὐ θέλει ζῆν. 7. Τὸ γὰρ πνεῦμα τοῦ μίσους συνεργεῖ τῷ Σατανᾷ ἐν πᾶσιν εἰς θάνατον τῶν ἀνθρώπων, τὸ δὲ πνεῦμα τῆς ἀγάπης συνεργεῖ τῷ νόμῳ τοῦ Θεοῦ εἰς σωτηρίαν ἀνθρώπων.

V. Κακὸν οὖν τὸ μῖσος, τὸ φῶς σκότος ποιεῖ καὶ συκοφαντίαν ἐκδιδάσκει καὶ θυμὸν καὶ πᾶν κέρδος αἰσχρὸν ποιεῖ καὶ τῆς πράξεως τοῦ διαβόλου τὴν καρδίαν πληροῖ. [Ὁρᾶτε γάρ, τέκνα, λέγω ὑμῖν ὅτι] 2. ἡ δικαιοσύνη ἐκβάλλει τὸ μῖσος τοῦ διαβόλου καὶ κολλᾶται τῇ ἀγάπῃ τοῦ Κυρίου· 3. ἀλήθεια γὰρ ἐξελάυνει τὸ μῖσος, καὶ ἡ ταπείνωσις ἀναιρεῖ τὸ μῖσος. Ὁ γὰρ δίκαιος αἰδεῖται ποιῆσαι ἄδικον οὐχ ὑπὸ ἄλλου καταγινωσκόμενος, ἀλλ' ὑπὸ τῆς ἰδίας καρδίας. 6. ταῦτα ἐγὼ ἔσχατον ἔγνων μετὰ τὸ μετανοῆσαί με περὶ τοῦ Ἰωσὴφ ἀδελφοῦ. 7. Ἡ γὰρ ἀληθὴς μετάνοια φωτίζει τοὺς ὀφθαλμούς, ἀποβάλλει καὶ διαφθείρει τὴν ἁμαρτίαν, γνῶσιν παρέχουσα τῇ ψυχῇ, καὶ ὁδηγεῖ τὸ διαβούλιον πρὸς σωτηρίαν. 9. Ἐπήγαγε γάρ μοι ὁ Θεὸς νόσον ἥπατος καὶ εἰ μὴ αἱ εὐχαὶ Ἰακὼβ τοῦ πατρός μου, ὀλίγου οὐκ ἐξῆλθε ἐξ ἐμοῦ τὸ πνεῦμα· 10. ὁ Θεὸς οἶδε δι' ὧν ἄνθρωπος παρανομεῖ, δι' ἐκείνων καὶ κολάζεται. 11. Τὰ ἥπατά μου ἐνέκειτο ἀνίλεως κατὰ τοῦ Ἰωσήφ—

καὶ ἐκρινόμην ἐν νόσῳ (ἐπὶ μῆνας) ἕνδεκα· [διὰ ταῦτ' ἐννόησα ὅτι ὁ Θεὸς οὕτως ἐποίησε κατ' ἐμοῦ, ὅτι καὶ] ἐγὼ τοσοῦτον χρόνον ἐνεῖχον τῷ Ἰωσήφ, ἕως ἂν πραθῇ.—VI. 1. καὶ νῦν, τέκνα μου, ἕκαστος λέγοι τοῖς υἱοῖς αὐτοῦ καὶ ἀγαπήσατε ἀλλήλους ἐν ἔργῳ καὶ λόγῳ καὶ πάσῃ διανοίᾳ [καὶ] ἐκ πάσης ψυχῆς. 3. Ἐάν τις ἁμάρτῃ εἴς σε, σὺ πρῶτον ἐξόριζε ἀπὸ σεαυτοῦ τὸν ἰὸν τοῦ μίσους. [Αἱ γὰρ παρακλήσεις εἰς εἰρήνην οὐκ ἀκούονται] 5. ἐν τῇ ἀλλοτρίᾳ ταραχῇ τῶν μυστηρίων ὑμῶν.

VII. 2. Εἰ δὲ ὁ ἐχθρὸς ὑμῶν ὑπερηφανὴς γίγνεται μὴ φθονήσητε, ὅτι πάσῃ σαρκὶ κατθανεῖν ἔστι. ὁ δὲ Θεὸς τὸν ἔπαινον φέρει τῷ διδόντι τὰ ἀγαθὰ καὶ ἀναγκαῖα τοῖς ἀνθρώποις. 4. Ἐὰν δὲ ἐκ κακῶν τις πλουτίσῃ μὴ ζηλώσητε αὐτόν. 6. ὁ γὰρ πένης καὶ ἄφθονος ἐπὶ πᾶσι Κυρίῳ εὐχαριστεῖ, αὐτὸς παρὰ πᾶσι πλουτεῖ εὐλογητοῖς τρόποις.

VIII. 1. Εἴπατε δὲ καὶ ὑμεῖς ταῦτα τοῖς τέκνοις ὑμῶν, ὅπως τιμήσωσιν Ἰούδαν καὶ τὸν Λευΐ. ὅτι ἐξ αὐτῶν ἀνατελεῖ Κύριος σωτῆρα τῷ Ἰσραήλ. 2. Ἔγνων γὰρ ὅτι ἐπὶ τέλει ἀποστήσονται τὰ τέκνα ὑμῶν ἀπ' αὐτοῦ, ἐν πάσῃ πονηρίᾳ καὶ ἐν διαφθορᾷ ἔσονται ἐνώπιον Κυρίου. 4. Καὶ ταῦτα εἰπὼν προσέφερε τὴν ψυχὴν τῷ Κυρίῳ 5. καὶ ἔταφον αὐτὸν ἐν τῷ αὐτῷ σπηλαίῳ. καὶ ἦν πάντα τὰ ἔτη τοῦ Γὰδ ἑκατὸν καὶ πεντήκοντα καὶ πέντε, καὶ Γὰδ ἦν υἱὸς Ζέλφας ὁ τέταρτος.

ΔΙΑΘΗΚΗ ΑΣΗΡ ΠΕΡΙ ΚΑΚΙΑΣ ΚΑΙ ΑΡΕΤΗΣ

I. 1. Ἀντίγραφον διαθήκης Ἀσὴρ περὶ κακίας καὶ ἀρετῆς. 2. Ἀκούσατε, εἶπε, τέκνα Ἀσήρ, τοῦ πατρὸς ὑμῶν καὶ ὑποδείξω ὑμῖν πᾶν τὸ εὐθὲς ἐνώπιον τοῦ Θεοῦ. 3. Δύο ὁδοὺς ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων, καὶ δύο διαβούλια καὶ δύο πράξεις καὶ δύο τόπους. 4. Διὰ τοῦτο πάντα δύο ἐστίν, ἓν κατέναντι τοῦ ἑνός. 5. Δύο ἐστὶ διαβούλια ἐν στέρνοις ἡμῶν διακρίνοντα ἡμᾶς. 6. Ἐὰν οὖν ἄνθρωπός τις εἰς τὴν δικαιοσύνην ἐπιτρέπηται καὶ τὰ διαβούλια αὐτοῦ. Ἐὰν πίπτῃ εἰς τὴν ἁμαρτίαν ὁ ἄνθρωπος ἢ δι' ἄγνοιαν ἔν τινι (ἁμάρτῃ) εὐθὺς μετανοεῖ, [καὶ διὰ τὴν μετάνοιαν αὐτοῦ καθαίρει τὰ ἁμαρτήματα αὐτοῦ]. 7. Δίκαια γὰρ λογιζόμενος ἀνατρέπει τὸ κακὸν καὶ ἐκριζοῖ τὴν ἁμαρτίαν. 8. εἴ τις ἐπιτρέπει εἰς ἄλλους τρόπους τὸν τρόπον αὐτοῦ, πᾶσα πρᾶξις αὐτοῦ ἐν πονηρίᾳ [καὶ διὰ κακίαν ἐπαινεῖται, καὶ διδάσκει τὰ χείλη αὐτοῦ ἀεὶ τὰ ψευδῆ λέγειν] καὶ ἀπωθούμενος τὸ ἀγαθὸν λήψεται τὸ κακόν, εἴπερ θέλει τι ἀγαθὸν ποιεῖν, εἰς κακὸν μεταστρέφει. 9. Ὅταν γὰρ εὖ ἄρξηται ὡς ἀγαθὸν ποιῶν, τὸ τέλος τῆς πράξεως αὐτοῦ εἰς κακὸν ποιεῖν ἀνελαύνει, ὅτι ὁ θησαυρὸς τοῦ διαβουλίου αὐτοῦ κατακυριεύεται ὑπὸ τοῦ Βελίαρ καὶ ἐπεπεπλήρωται τοῦ πνεύματος τῆς πλάνης [ἄνθρωπος κατὰ βίαν ποιεῖ].

II. 5. Κλέπτων καὶ πλεονεκτῶν, ἀλλὰ καὶ ἔτι ἐλεεῖ τοὺς πτωχούς. διπρόσωπον μὲν καὶ τοῦτο. 8. Μοιχεύουσιν καὶ πορνεύουσιν, καὶ ἔτι ἀπέχονται ἐδεσμάτων καὶ ἄγαν τις νηστεύει. καὶ τοῦτο διπρόσωπόν ἐστι. [Ὁρᾶτε οὖν, τέκνα ἐμοῦ, ὡς εἶπον] 7. τοιαῦτα γὰρ διαφθείρει τὴν ψυχήν, καθαρίζει τὸ σῶμα. 10. Ἐγώ, τέκνα, εὗρον ἐν βιβλίοις τοῦ δικαίου Ἐνώχ, λέγουσι III. 1. μὴ γίγνησθε διπρόσωποι τῇ δικαιοσύνῃ καὶ τῇ κακίᾳ, ἀλλὰ προσκολλήθητε τῷ ἀγαθῷ, ὡς ὁ Θεὸς ἀναπαύεται ἐν αὐτῷ καὶ ἄνθρωποι θέλουσιν ἐν αὐτῇ παρακύπτειν [καὶ κατὰ τὸ ἦθος τῆς κακίας μὴ ἰδεῖν τὴν χάριν]. 2. καὶ νῦν, τέκνα, φεύγετε τὴν κακίαν τοῦ Βελίαρ εἰσελθοῦσαν εἰς τὰς ἀγαθὰς ὑμῶν πράξεις.

V. Ὁρᾶτε οὖν, τέκνα, πῶς δύο ἐστὶν ἐν πᾶσιν, καὶ ἓν ὑπὸ τοῦ ἑνὸς κέκρυπται καὶ πένθος ἐν ἀδελφοῖς ἐν ποιήσει καὶ αἰσχροκέρδεια ἐν χαρᾷ κρύπτεται τῇ μέθῃ τὰ τολμηρὰ κρύπτεται καὶ ἡ λύπη ἐν ἀδελφοῖς καὶ τῇ τροφῇ. 2. ὁ θάνατος διαδέχεται τὴν ζωήν, καὶ τὴν τιμὴν διαδέχεται ἡ ἀτιμία, καὶ ὁ ποιῶν τὰ ἀληθῆ ἐστιν ἐν τῷ φωτί, ὁ δὲ ποιῶν τὴν ἀδικίαν ἐν τῷ σκότῳ πορεύεται. 4. ἐγὼ ἐν πάσῃ τῇ ζωῇ μου (ταῦτα) ἐδοκίμασα καὶ οὐκ ἐπλανήθην ἀπὸ τῆς ἀληθείας Κυρίου.

VI. 4. Τὸ γὰρ τέλος δείκνυσι τὴν δικαιοσύνην ἢ τὴν ἀδικίαν. 5. ἐπεὶ γὰρ τῇ ἐντολῇ (τοῦ Θεοῦ) ἡ ψυχή μου ἡρπάσθη τῇ χειρὶ τοῦ ἀγγέλου τοῦ Θεοῦ, ταχέως φαίνεται τὸ πνεῦμα τῆς πλάνης. Ἡ γὰρ ψυχή, ἐλέγχουσα τὰς φροντίδας καὶ τὰς πράξεις, πάσχει σφόδρα ἀπὸ τοῦ πνεύματος τῆς πλάνης, ἐδούλευσεν γὰρ ἐν τούτῳ τῷ βίῳ αὐτῷ. 6. Εἰ δὲ ψυχὴ πορεύεται ἐν ἀληθείᾳ, τότε ἐν χαρᾷ ἐγνώρισε τὸν ἄγγελον τοῦ Θεοῦ, καὶ ὁ ἄγγελος παραμυθεῖται αὐτὴν εἰς τὸν αἰώνιον βίον.

VII. Ὑμεῖς δέ, τέκνα, μὴ γένεσθε ὡς Σόδομα, ἀγνοήσαντες τὰς ἐντολὰς Θεοῦ. 2. Εἶδον γὰρ ἐν βιβλίοις τοῦ Ἐνὼχ τοῦ δικαίου ὡς σφρόδρα πλανᾶσθε καὶ πολλαὶ τιμωρίαι ἔσονται ἐφ' ὑμῖν καὶ πονήσετε ἐν ξέναις χώραις, [ἀλλὰ τῇ ἐλεημοσύνῃ τοῦ Κυρίου ἐπιστρέψεσθε εἰς τὴν γῆν ὑμῶν, ὅπου ὑπέσχετο ὁ Κύριος τῷ πατρὶ ἡμῶν Ἀβραάμ], καὶ ἔσεσθε ἐκεῖ 3. ἕως ὁ Ὕψιστος ἐπισκέψηται τὴν γῆν [καὶ τοῖς ζῶσι ἐν αὐτῇ ἕξει εὐσπλαγχνίαν], καὶ αὐτὸς ἐλεύσεται ὡς ἄνθρωπος μετὰ ἀνθρώπων ἐσθίων καὶ πίνων καὶ ἐν ἡσυχίᾳ συντρίβων τὴν κεφαλὴν τοῦ δράκοντος δι' ὕδατος. Οὗτος σώσει πολλοὺς [ἐξ] Ἰσραὴλ καὶ πάντα τὰ ἔθνη, Θεὸς εἰς ἄνδρα ὑποκρινόμενος. 4. Εἴπατε οὖν ταῦτα τοῖς τέκνοις ὑμῶν μὴ ἀπειθεῖν αὐτῷ. 5. Ἀνέγνων γὰρ ἐν βιβλίοις Ἐνὼχ τοῦ δικαίου, ὅτι ἀπειθοῦντες ἀπειθήσετε αὐτῷ καὶ ἀσεβοῦντες ἀσεβήσετε εἰς αὐτόν, μὴ προσέχοντες τῷ νόμῳ τοῦ Θεοῦ. 6. Διὰ τοῦτο διασκορπισθήσεσθε εἰς τὸ εὖρος τῆς γῆς, καὶ ἔσεσθε ἐν διασπορᾷ, καὶ

ἐξουθενωθήσεσθε ὡς ὕδωρ ἄχρηστον. 7. [καὶ ὁμολογοῦντες τότε τὸ ὄνομα] τοῦ Κυρίου πάλιν πιστεύσετε καὶ ἐπιθήσει αὐτοῖς τὴν εὐσπλαγχνίαν αὐτοῦ, διὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ.

VIII. 1. Εἶτα δὲ εἶπεν αὐτοῖς· θάψατέ με εἰς Χεβρών. καὶ ἐκοίμηθη ὕπνῳ αἰωνίῳ. 2. καὶ ἔθαψαν αὐτὸν ὅτι υἱοὶ ὡς ὁ πατὴρ ἐνετείλατο αὐτοῖς. καὶ ἔζη πάντα τὰ ἔτη αὐτοῦ, ἑκατὸν καὶ εἴκοσι καὶ τρία, Ἀσὴρ ὁ υἱὸς Ἰακὼβ δέκατος, υἱὸς Ζέλφας.

ΔΙΑΘΗΚΗ ΙΩΣΗΦ

[Ἐπὶ τούτοις οἱ ἀδελφοὶ Ἰωσὴφ εἶπον· ὁ πατήρ σου λίσσεταί σε, λέγων, εἴπετε τῷ Ἰωσήφ· Συγγνῶθι αὐτοῖς τὴν σκολιότητα τῶν ἁμαρτιῶν αὐτῶν, ὡς κακὸν ἐποίησάν σοι καὶ νῦν ὁ Θεὸς ἀνίησι σκολιότητα τοῖς δούλοις (αὐτοῦ), τοῦ πατρός σου χάριν. Ὁ Ἰωσὴφ ταῦτα ἀκούσας ἐκλαύσατο ὅτε οἱ ἀδελφοὶ εἰς δούλους μετεβλήθησαν, καὶ Ἰωσὴφ σφόδρα στενάξας εἶπεν αὐτοῖς οὐχ ὥσπερ πατέρες καὶ ἀδελφοὶ πάντες]. I. 4. ὑμεῖς ἐμισήσατέ με, ἀδελφοί, ἀλλ᾽ ὁ Θεὸς ἠγάπησέ με, ὑμεῖς δὲ ἠθέλετέ με ἀνελεῖν καὶ ὁ Θεὸς τῶν πατέρων μου ἐφύλαξέ με, εἰς λάκκον με ἐβάλετε ἀλλ᾽ ὁ Ὕψιστος ἀνήγαγέ με. 5. ἐπωλήσατέ με εἰς δοῦλον, καὶ ὁ Θεὸς ἐκ πάντων ἐλευθέρωσέ με [καὶ πάσῃ τῇ Αἰγύπτῳ δοῦναι κρίσιν ἐποίησέ με], 5. εἰς αἰχμαλωσίαν ἐλήφθην καὶ ἡ κραταιὰ αὐτοῦ χεὶρ ἐβοήθησέ μοι· ἐν λιμῷ συνεσχέθην καὶ αὐτὸς ὁ Κύριος διέθρεψέ με. 6. μόνος ἤμην ἐν λάκκῳ, ἀλλ᾽ ὁ Θεὸς τοῦ πατρός μου παρεκάλεσέ με· ἐν ἀσθενείᾳ ἤμην ἀλλὰ ὁ σωτὴρ ἐχαρίτωσέ με, ὠνείδισάν με ἐν δεσμοῖς 7. καὶ ἐν (διαβολαῖς), ἀλλ᾽ ὁ Θεὸς ἐρρύσατό με, καὶ ἐν λόγοις πικροῖς οἱ Αἰγυπτίοι ἐκβάλλουσί με.

II. 2. Καὶ ἠγωνισάμην τῷ πάθηματι ἐλθόντι ἐπ᾽ ἐμὲ ἀπὸ γυναικὸς ἐπειγούσης με παρανομεῖν μετ᾽ αὐτῆς ἀλλ᾽ ὁ Θεὸς Ἰσραὴλ τοῦ πατρός μου ἐφύλαξέ με ἀπὸ ταύτης φλογὸς καιομένης. 3. Ἐφυλακίσθην, ἐτύφθην, ἐμυκτηρίσθην καὶ ἔδωκέ με Κύριος εἰς οἰκτιρμοὺς ἐνώπιον πάντων τῶν δεσμοφυλάκων ἐν τῷ δεσμωτηρίῳ. 4. Οὐ γὰρ ἐγκαταλείψει τοὺς φοβουμένους αὐτὸν ἐν ἀληθείᾳ ἐν δεσμωτηρίῳ σκοτεινῷ οὔτε ἐν δεσμωτηρίῳ ἢ δεσμοῖς, ἢ θλίψεσιν ἢ ἀνάγκαις 5. οὐ γὰρ ὡς ἄνθρωπος ἐπαισχύνεται ὁ Θεός. οὐδὲ ὡς γηγενὴς ἀσθενεῖ ἢ ἀπωθεῖται. 6. ἐπὶ πᾶσι δὲ [τόποις] παρίσταται καὶ ἐν διαφόροις λύπαις παρακαλεῖ παρών. 7. ἐν δέκα πειρασμοῖς ὁ Θεὸς ἐποίησέ με κρατερόν.

IV. 1, 5. Ποσάκις ἡ Αἰγυπτία σαίνουσά με εἶπε, εἴπερ συνέσει μοι ἀποβαλῶ εἴδωλον τοῦ Αἰγυπτίου Πεστεφρῇ. 7. Θέλω ὑμᾶς πιστεῦσαι κατὰ τὸν νόμον τοῦ Κυρίου σου. 8. ἀποκρινάμενος αὐτῇ εἶπον·

Ἀμεμεφρή, ἡ δέσποινά μου οὐ καθαρὰ καὶ Θεὸς ὁ Κύριος βούλεται τοὺς φοβουμένους αὐτὸν μὴ τοῖς λάγνοις χαρίζεσθαι. [Αὕτη δὲ μᾶλλον ἔθηκε τὴν ἐσθῆτα ὥστε περιπλέκειν ἐμέ].

VI. 1. Καὶ ἀποστέλλει μοι βρῶμα ἐν γοητείᾳ πεφυραμένον. 6. καὶ ὁ Θεὸς τοῦ πατρός μου ἀπεκάλυψε. 4. Μετὰ ταῦτα εἰσελθὼν εἰς τὴν κοίτην μου εἶπον αὐτῇ, ὅτι ἐνόμιζεν κτείνειν ἐμὲ ἀδίκως ὅτι ἔπεμψέ μοι τὸ βρῶμα τῷ (φαρμάκῳ) θανασίμῳ μεμιγμένον, καὶ 7. ὅτι γνοίης τῶν ἐν σωφροσύνῃ θεοσεβούντων οὐ κατισχύει κακία ἀσεβούντων, λαβὼν ἐνώπιον αὐτῆς φαγεῖν ἠρξάμην· ὁ Θεὸς τῶν πατέρων μου ἐστὶ μετ' ἐμοῦ. 8. Ἡ δὲ ἔπεσεν ἐπὶ πρόσωπον εἰς τοὺς πόδας μου, καὶ ἔκλαυσε, καὶ συνέθετό μοι μὴ ποιῆσαι ἔτι τὴν ἀσέβειαν ταύτην, [καὶ ὅμως ἐξεγείρεται ταῖς φροντίσιν καὶ ἔσω ὁ δαίμων τῆς ἀκολασίας ἐπιφλέγει αὐτήν].

Μετὰ ταῦτα ὡς ἐγὼ ἦλθον πρὸς αὐτὴν διὰ τῶν ἀναγκαίων, λέγουσά μοι VIII. 2. καὶ αἴρουσα τῆς ἐσθῆτος ἔσυρέ με εἰς τὴν κοίτην αὐτῆς. Καὶ ἐγὼ συνέστρεψα ἀμφὶ ἐμαυτὸν τὴν ἐσθῆτα. καὶ ἔφυγον ἀπὸ τῆς Αἰγυπτίας. 3. ἡ δὲ οὐ δεξαμένη τὸ θέλημα ἐσυκοφάντισέ με πρὸς τὸν ἄνδρα αὐτῆς. Ἐγὼ δὴ ἐτύφθην καὶ ἐβλήθην εἰς τὸ δεσμωτήριον καὶ ἡ Αἰγυπτία ἀνίετο κατ' ἐμοῦ IX. 1. καὶ εἶπε πολλάκις πλήρωσον τὸ θέλημά μου, καὶ ἐξελευθερώσω σε ἐκ τῶν δεσμῶν καὶ σώσω σε ἐκ τοῦ δεσμωτηρίου. 2. Ἐγὼ δὲ καὶ ἐν φροντίδι οὐ συνεχώρησα αὐτῇ· ἀγαπᾷ γὰρ ὁ Κύριος τὸν ἐν στέγῃ σκοτεινῇ νηστεύοντα ἐν διανοίᾳ μᾶλλον ἢ ἐν τοῖς βασιλικοῖς μεγαλείοις τὸν ἄνδρα τρέφοντα ἑαυτὸν ἐν πορνείᾳ 3. ὁ πορευόμενος ἐν φροντίσιν λήψεται δόξαν, καὶ ὁ Θεὸς οἶδε οὗ ἔχει χρείαν, καὶ δώσει αὐτοῖς ὃ καὶ ἐμοὶ ἔδωκε.

[Νῦν οὖν, ἀδελφοί, μὴ φοβεῖσθε. ἐγὼ θρέψω ὑμᾶς καὶ δόμους ὑμετέρους. παραμυθήσομαι γὰρ λέγων αὐτοῖς. καὶ οὕτως ἦλθεν ὁ Ἰωσὴφ εἰς τὴν Αἴγυπτον καὶ οἱ ἀδελφοὶ αὐτοῦ. καὶ ἤρξατο ζῆν ἐν Αἰγύπτῳ καὶ ἐστήριξε πᾶσαν τὴν δύναμιν τῶν Αἰγυπτίων. Καὶ ὁ Ἰωσὴφ ἔζη ἔτη ἑκατὸν καὶ δέκα καὶ βλέψας τοὺς παῖδας τοῦ Ἐφραΐμ τρεῖς υἱοὺς τοῦ γένους Μάχερ, υἱοῦ Μανασσή. καὶ Ἰωσὴφ εἶδε τὴν ἡμέραν οὐ μακρὰν ἀπέχουσαν ἀπ' αὐτοῦ, καὶ προστίθεται τοῖς προγόνοις καὶ τῷ πατρί, καὶ ἤρξατο λέγειν τοῖς πλησίοις Ἰδοὺ πᾶσαι αἱ αἰσθήσεις ἀνέχουσαι τὸ σῶμά μου ἀδυνατοῦσι, καὶ τὸ κράτος ζωοτρόφον ἀπέστη ἀπ' ἐμοῦ, καὶ ἀπῆλθεν τὸ κράτος τῆς δυνάμεως καὶ νόσοι γίγνονται κρατερώτεραι ἐν ἐμοί, καὶ οὐκέτι ἔχω μέρος ἐν τοῖς ζῶσιν ἐπὶ τῇ γῇ, καὶ οὐκ ἔχω ἀπὸ τοῦ νῦν οἰκίαν καὶ μικρὸν χρόνον πρόσθεν τοῦ θανάτου λέξω τι ὑμῖν καὶ τοῖς υἱοῖς τῶν ἀδελφῶν μου].

XVII. 1. Ἠκούσατε γάρ, τέκνα μου, ὅσον ἐγὼ ἔπαθον [ἀπὸ τῶν

ἀδελφῶν μου, ἀλλὰ γινόμενος δοῦλος, μετεβλήθην]· ἵνα μὴ καταισχύνω τοὺς ἀδελφούς 2. καὶ ὑμεῖς οὖν ἀγαπᾶτε ἀλλήλους, τέκνα μου, καὶ ἐν μακροθυμίαις ζῆτε μὴ φέροντες αἰτίας ἄλλος ἄλλῳ. 3. Τέρπεται γὰρ ὁ Θεὸς ἐπὶ ὁμονοίᾳ ἀδελφῶν, καὶ ἐπὶ προαιρέσει καρδίας εὐδοκεῖτε πρὸς τὸ ζῆν. 4. καὶ ὅτι ἦλθον οἱ ἀδελφοί μου εἰς Αἴγυπτον, ὡς καὶ αὐτοὶ ὁρῶσι, καὶ πάλιν ἔδωκα τὸ ἀργύριον αὐτῶν καὶ οὐκ ὠνείδισα τῇ ὕβρει ἀλλὰ καὶ παρεκάλεσα αὐτοὺς 5. καὶ ἔτι μετὰ θάνατον Ἰακὼβ περισσοτέρως ἠγάπησα αὐτούς. 6. οὐκ ἀφῆκα γὰρ αὐτοῖς θλιβῆναι, καὶ ὃ ἦν ἐν χειρί μου, αὐτοῖς ἔδωκα. 7. οἱ υἱοὶ γὰρ αὐτῶν υἱοί μου. καὶ τοὺς υἱούς μου ὡς δούλους αὐτῶν ἐποίησα. ἡ ψυχὴ αὐτῶν ἦν ψυχή μου, καὶ πᾶν ἄλγημα αὐτῶν ἄλγημά μου καὶ πᾶσα μαλακία αὐτῶν ἀσθένειά μου, τὸ φῶς αὐτῶν φῶς μου καὶ ἡ βουλή μου σὺν αὐτοῖς ἦν. 8. καὶ οὐχ ὕψωσα ἐμαυτὸν ἐν αὐτοῖς ἐν ἀλαζονείᾳ διὰ τὴν κοσμικὴν δόξαν μου, ἀλλ' ἤμην ἐν αὐτοῖς ταπεινὸς [καὶ ὑφειμένος, ἐπαίρων αὐτοὺς μᾶλλον ἢ ἐμαυτόν].

XVIII. 1. Ἐὰν οὖν ὑμεῖς, τέκνα μου, θέλητε πορεύεσθαι ἐν ταῖς ἐντολαῖς Κυρίου [καὶ τὰ δῶρα τῆς γῆς ἐδεῖσθε καὶ ὁ στέφανος τῆς βασιλείας πλεχθήσεται ὑμῖν. καὶ ἐπισκιασθήσεσθε τῇ χάριτι τοῦ Θεοῦ καὶ ἐν τῇ εὐλογίᾳ τοῦ κτίστου αἱ ἀκτῖνες ἡλίου λάμψουσι ἐφ' ὑμᾶς]. 2. καὶ ἐὰν θέλῃ τις κακοποιῆσαι ὑμᾶς, ὑμεῖς [ἐξ ἰσχύος ὑμῶν] ἀγαθὰ ποιοῦντες βοηθεῖτε αὐτῷ καὶ εὔχεσθε ὑπὲρ αὐτοῦ τῷ Κυρίῳ ἀπὸ παντὸς κακοῦ [τῇ ἰσχύι καὶ κράτει αὐτοῦ] ὁ Θεὸς λυτρώσει ὑμᾶς. 3. Ἑωρᾶτε γάρ ὅτι [Θεὸς ἐποίησέ μοι ταπεινωθέντι καὶ πωλουμένῳ καὶ συκοφαντηθέντι καὶ πάντα ἔπαθον τῇ ὑπομόνῃ, ἐπαινῶν τὸν Θεόν μου καὶ ὡς κρατερὸς στρατὸς ὡπλισμένος τῷ σιδήρῳ ὁ λόγος τοῦ Κυρίου ἀφαιρεῖ με ἐκ τῆς δουλείας καὶ ἐξ ἐπιβουλῆς καὶ κύριον τῆς Αἰγύπτου ἐν πάσαις τύχαις ἐποίησέ με].

XIX. 1. Ἀκούσατε, τέκνα μου, ἐνύπνιον ὃ εἶδον λέξω ὑμῖν. 2. Ἰδοὺ δώδεκα ἔλαφοι ἐνέμοντο καὶ οἱ ἐννέα διῃρέθησαν εἰς πᾶσαν τὴν γῆν· ὁμοίως καὶ οἱ τρεῖς. 8. καὶ εἶδον ὅτι ἐκ τοῦ Ἰούδα ἐγεννήθη παρθένος, ἔχουσα στολὴν βυσσίνην· καὶ ἐξ αὐτῆς προῆλθεν ἀμνὸς ἄμωμος. καὶ πάντα τὰ θηρία ὥρμων κατ' αὐτοῦ, καὶ ἐνίκησεν αὐτὰ ὁ ἀμνὸς καὶ ἀπώλεσεν αὐτοὺς εἰς καταπάτησιν. 9. Καὶ ἔχαιρον ἐπ' αὐτῷ οἱ ἄγγελοι, καὶ οἱ ἄνθρωποι καὶ πᾶσα ἡ γῆ. 10. Ταῦτα δὲ γενήσεται ἐν καιρῷ αὐτῶν [εὐφράνθησαν ἐν αὐτοῖς], ἐν ἐσχάταις ἡμέραις. 11. Ὑμεῖς οὖν, τέκνα μου, φυλάξατε τὰς ἐντολὰς Κυρίου καὶ τιμᾶτε τὸν Ἰούδαν καὶ τὸν Λευὶ ὅτι ἐξ αὐτῶν ἀνατελεῖ ὑμῖν ὁ ἀμνὸς τοῦ Θεοῦ, χάριτι σώζων πάντα τὰ ἔθνη [καὶ τὸν] Ἰσραήλ. 12. Ἡ γὰρ βασιλεία αὐτοῦ βασιλεία αἰῶνος. ἡ δὲ ἐμὴ βασιλεία ἐν ὑμῖν ἐπιτελεῖται ὡς ὀπωροφυλάκιον· μετὰ τὸ θέρος οὐ φαίνεται.

[Ἄκουσον οὖν, ὦ Ἰουδαῖε, τί λέγει τὸ ἐνύπνιον τοῦ Ἰωσήφ. Ἑώρακα γὰρ δώδεκα ἐλάφους, καὶ ἔλαφοί εἰσιν οἱ δώδεκα ἀπόστολοι, εὐαγγελιζόμενοι τὰ σημεῖα ἐν τῷ κόσμῳ καὶ ἐννέα αὐτῶν, εἶπε, στρώννυνται ἐπὶ πᾶσαν τὴν γῆν διδάσκοντες καὶ βαπτίζοντες ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. οὕτως εἶπον τρεῖς, καὶ οὗτοι οἱ τρεῖς ὁμοίως ἐκήρυξαν καὶ ἀπέθανον οὐκ ἐξιόντες ἐξ Ἱερουσαλήμ. Ὡς ἡ γραφὴ ἔλεξε ὅτι Ἡρώδῃ τῷ ἀνόμῳ Ἰακὼβ ὁ ἀδελφὸς Ἰωάννου τῷ ξίφει ἐκτάνθη καὶ οὕτως ὁ Στέφανος ὁ διάκονος καλούμενος ἐλιθάσθη ὑπὸ τῶν Ἰουδαίων, ὅστις ἔκραξε λέγων, Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην, οὐ γὰρ οἴδασι ὅτι ποιοῦσιν. καὶ εἶδον, εἶπεν, ὡς ἐκ τοῦ Ἰούδα ἐγεννήθη παρθένος, τοῦτό ἐστ' ἡ μήτηρ τοῦ Θεοῦ ἐκ τοῦ γένους τοῦ Ἰούδα, θυγάτηρ Ἰωακίμ, ἔχουσα, εἶπε, στολὴν βυσσίνην. τοῦτό ἐστι καθαρὰ καὶ ἄνευ πλάνης, ἀλλὰ ἁγνὴ καὶ ὑπεραγνή. Ἐξ αὐτῆς, εἶπε, προῆλθεν ἀμνὸς ἄμωμος, τοῦτό ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ἤπιος καὶ ταπεινὸς ἄνευ κακίας, καὶ ἄνευ πονηρίας. ἐξαιρεῖται οὐκ εἰδὼς τὴν ἁμαρτίαν, καὶ ἐξ ἀριστεροῦ αὐτοῦ ὡς λέων, εἶπε, Ἰδού ἐστι ὡς λόγος τοῦ Θεοῦ· μεγάλως καὶ δεινῶς καὶ φοβερῶς ἐπισημαίνεται καὶ πάντα τὰ θηρία ὥρμων (κατ' αὐτοῦ). Τοῦτό ἐστι, ὑμεῖς ταλαίπωροι Ἰουδαῖοι εἴδετε τὸν υἱὸν τοῦ Θεοῦ λαβόντα ταπεινὴν μορφήν, καὶ ὡς ἄγρια θηρία ἐκράζετε καὶ ὡρμήσατε εἰπόντες, λάβετε, λάβετε, σταυρώσατε αὐτόν, γένοιτο τὸ αἷμα αὐτοῦ ἐφ' ἡμῖν καὶ ἐπὶ τέκνοις ἡμῶν.

Ἐνίκησεν αὐτοῖς ἐκ νεκρῶν ἐγερθεὶς ὁ υἱὸς τοῦ Θεοῦ οὗ ὑμεῖς κατεφρονήσατε, κακῶς ποιοῦντες, καὶ ὤλεσεν αὐτὸς ἐν καταπατήσει, τοῦτό ἐστι, δίδοσθε εἰς δουλείαν ὑπὸ τὰ ἔθνη. καὶ καταπατεῖσθε ἕως τοῦ νῦν ἐν ταῖς χώραις ἡμῶν καὶ περὶ τούτου ἠγαλλιάσαντο οἱ ἄγγελοι καὶ ἄνθρωποι καὶ πᾶσα ἡ γῆ. Ὁ Κύριος ὁ Θεὸς ἡμῶν συνήψει τὰ ἄνω σὺν τοῖς κάτω ἅμα ἐν ἑνὶ φαιδρᾷ εὐλογίᾳ. τοῦτο γὰρ γενήσεται ἐν τῷ καιρῷ αὐτοῦ. Ἰακὼβ γὰρ ἦν ἐν τῷ τρίτῳ καὶ ἑβδόμῳ ἔτει, καὶ ὁ υἱὸς τοῦ Θεοῦ ἐγένετο ἐν ἐννάτῳ ἔτει καὶ ἠγαλλιάσατο ἐν ταῖς ἐσχάταις ἡμέραις. Τούτου ἐστιν ἡ ἀρχὴ καὶ τὸ τέλος. ὁ γὰρ πρῶτον ἀπὸ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι ἤγαγεν. περὶ τούτου οἱ προφῆται ἔλεξαν καὶ ἡμεῖς ἀγαλλιώμεθα περὶ αὐτοῦ, ἕως τῶν ἐσχάτων ἡμερῶν. Καὶ ὑμεῖς, τέκνα μου, φυλάξατε τὰς ἐντολὰς τοῦ Κυρίου. καὶ τιμᾶτε τὸν Ἰούδαν καὶ τὸν Λευί, ὅτι ἐξ αὐτῶν ἀνατελεῖ ὑμῖν ὁ ἀμνὸς τοῦ Θεοῦ, τοῦτό ἐστι, ἐκ γένους Ἰούδα καὶ κατὰ τὴν τάξιν τοῦ Λευὶ δέξεται ἡγεμονίαν τῇ χάριτι σώζων πάντα τὰ ἔθνη (καὶ) Ἰσραήλ. καὶ ἐννόει ὅτι οὐ μόνον Ἰσραὴλ ἦν ὁ σώζων ἀλλὰ πάντα τὰ ἔθνη. Ἕως γιγνόμενος οὐ μόνον Ἰσραὴλ ἔσωσε γίγνομενος ἐξ ἁγνῆς παρθένου, καὶ πάντα τὰ ἔθνη εἰς σωτηρίαν ἔσυρε· καὶ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος. Ἐννόει

δὲ ἆρ' οὐκ ἦν τούτου ἀμνοῦ ἡ παρθένος· καὶ ἡ βασιλεία αὐτοῦ οὐ μεταλλάσσεται εἰς τοὺς αἰῶνας.

XX. 4. Καὶ ταῦτα εἰπὼν ἐξέτεινε τοὺς πόδας αὐτοῦ ἐν τῷ λέχει καὶ ἐκοιμήθη ὕπνον αἰώνιον. 5, 6. Καὶ ἐπένθησαν αὐτὸν πᾶς Ἰσραὴλ καὶ πᾶσα ἡ Αἴγυπτος ὅτι ὡς ἓν μέλος ἔπαθον σὺν αὐτῷ καὶ ἔζη Ἰωσὴφ πάντα τὰ ἔτη ἑκατὸν καὶ δέκα (καὶ) ἀπέθανε.]

ΔΙΑΘΗΚΗ ΒΕΝΙΑΜΙΝ ΠΕΡΙ ΔΙΑΝΟΙΑΣ ΚΑΘΑΡΑΣ

[Συνεκάλεσε γὰρ Βενιαμὶν τοὺς υἱοὺς αὐτοῦ καὶ ἤρξατο λέγειν ἐν τοῖς ὠσὶν αὐτῶν. Ἐγὼ Βενιαμὶν [υἱὸς]· τοῦ γήρως τοῦ πατρός μου Ἰακὼβ καὶ ἦν νεώτερος πάντων τῶν ἀδελφῶν μου]. I. 2. ὡς Ἰσαάκ, ὁ πάππος ἡμῶν, ἐτέχθη τῷ Ἀβραάμ, ἑκατοστῷ ἔτει, οὕτως κἀγὼ τῷ Ἰακώβ, ἐν ἑκατοστῷ ἔτει. 4. ἡ γὰρ Ῥαχὴλ μετὰ τὸ τεκεῖν τὸν Ἰωσὴφ δώδεκα ἔτη ἐστείρευσε. καὶ προσηύξατο Κυρίῳ μετὰ σπουδῆς δώδεκα ἡμέρας, καὶ συλλαβοῦσα ἔτεκέ με. 5. Διὰ τοῦτο ἐκλήθην υἱὸς ἡμερῶν, ὅ ἐστι Βενιαμίν.

III. 1. Καὶ ὑμεῖς οὖν, τέκνα μου, ἀγαπήσατε Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ φυλάξατε ἐντολὰς αὐτοῦ, μιμούμενοι τὸν ἀγαθὸν καὶ ὅσιον ἄνδρα Ἰωσήφ. 2. Καὶ ἔστω ἡ διάνοια ὑμῶν εἰς τὸ ἀγαθόν, ὡς κἀμὲ οἴδατε. 3. [οὕτως ζῆτε καὶ ὑμεῖς] φοβεῖσθε Κύριον καὶ ἀγαπᾶτε τὸν πλησίον καὶ ἐὰν τὰ πνεύματα τοῦ Βελίαρ εἰς πᾶσαν πονηρίαν θλίψεως ἐξαιτήσωνται ὑμᾶς, οὐ μὴ κατακυριεύσῃ ὑμῶν πᾶσα πονηρία θλίψεως, ὡς οὐδὲ Ἰωσὴφ τοῦ ἀδελφοῦ μου. 4. Πόσοι τῶν ἀνθρώπων ἠθέλησαν ἀνελεῖν αὐτὸν καὶ ὁ Θεὸς ἐσκέπασεν αὐτόν; ὁ γὰρ φοβούμενος τὸν Θεὸν καὶ ἀγαπῶν τὸν πλησίον αὐτοῦ τούτῳ οὐκ ἀνάγκη τι φοβεῖσθαι. 5. καὶ εἴπερ πόλλην ὕβριν οἱ υἱοὶ τοῦ κόσμου ἐπιφέρουσι, οὐ προχωρήσουσι καὶ ὑπὸ θηρίου οὐ δύναται κυριευθῆναι βοηθούμενος ὑπὸ τῆς τοῦ Κυρίου ἀγάπης ἥτις πρὸς τὸν Θεὸν καὶ ἣν ἔχει πρὸς τὸν πλησίον. 6. καὶ γὰρ ἐδεήθην τοῦ πατρὸς ἡμῶν Ἰωσήφ, λέγων· Ὦ ἀγαθὲ πάτερ, Ἰακώβ, προσεύχου περὶ τῶν υἱῶν σου τῷ Κυρίῳ, ἵνα μὴ λογίσηται αὐτοῖς ὡς ἁμαρτίαν ὁ Κύριος, ὅτι ἐνεθυμήθησαν πονηρὸν περὶ ἐμοῦ. 7. Καὶ οὕτως ἐβόα Ἰακὼβ μεγάλῃ φωνῇ, λέγων· Ὦ τέκνον εὐλογηθείς, νικᾷς ἐμὲ τοῖς σπλάγχνοις. 8. πληρωθήτω ἐν σοι προφητεία ἀνθρώπων, ὁ ἀμνὸς τοῦ Θεοῦ σώσει τὸν κόσμον. ὅτι ἄμωμος ὑπὲρ ἀνόμων ἀποθανεῖ ἐν τῷ αἵματι τῆς διαθήκης, ἐπὶ σωτηρίᾳ ἐθνῶν καὶ Ἰσραήλ, καὶ καταργήσει Βελίαρ καὶ τὸν ὑπηρετοῦντα αὐτῷ.

IV. Καὶ ὁρᾶτε, τέκνα, τοῦ ἀγαθοῦ ἀνδρὸς Ἰωσὴφ τὸ τέλος· μιμήσασθε τὴν εὐσπλαγχνίαν αὐτοῦ, ἵνα καὶ ὑμεῖς στεφάνους δόξης

φορέσητε. 2. Ὁ ἀγαθὸς ἄνθρωπος οὐκ ἔχει σκοτεινὸν ὄμμα, ἐλεᾷ γὰρ πάντας, κἂν ὦσιν ἁμαρτωλοί. 3. κἂν βουλεύωνται περὶ αὐτοῦ εἰς κακά, οὕτως ὁ ἀγαθοποιῶν νικᾷ τὸ κακόν, σκεπαζόμενος ὑπὸ τοῦ Θεοῦ, τῆς ἀρετῆς αὐτοῦ χάριν. 4. Ἐάν τις δοξάζηται οὐ φθονεῖτε αὐτῷ, ἐάν τις πλουτῇ μὴ ζηλώσητε. τὸν πένητα ἐλεεῖτε, τῷ ἀσθενοῦντι συμπαθεῖτε, [τοὺς ἀδελφοὺς ἀγαπᾶτε, τῶν οἰκείων μὴ ἐπιλανθάνεσθε]· τὸν Θεὸν ἀνυμνεῖτε. 5. καὶ τῷ ἔχοντι φόβον Θεοῦ βοηθεῖτε, κολάζετε τὸν ἀθετοῦντα τὸν Θεὸν καὶ ἀποστρέφετε ἀπὸ τῆς ἀδίκης ὁδοῦ αὐτοῦ· ἀγαπᾶτε τὸν ἀγαπῶντα τὸν Θεὸν καὶ τῇ ψυχῇ ὑμῶν.

V. 2. Ἐὰν γὰρ συνδεδεσμένοι ἐστὲ τῇ ἀγάπῃ τοῦ Θεοῦ τὰ πνεύματα τῆς πλάνης φεύξει ὑμᾶς. 3. Ὅπου γάρ ἐστι ἀγαθὴ φροντὶς ἐν τῇ ψυχῇ τοῦ ἀνθρώπου, ἐκεῖ καὶ τὰ πνεύματα πλάνης φεύγει αὐτόν. 4. καὶ δίκαιον ἄνδρα μηδαμῶς ὑβρίζετε, καὶ ὁ δίκαιος ἀγαπᾷ τὸν κολάζοντα καὶ σιγᾷ. 5. ἐὰν γὰρ εἰς τὴν ψυχὴν κολάζεται, εὐχὰς ποιῶν φαίνεται λαμπρὸς τῷ Ὑψίστῳ. Οὕτως ἀδελφός μου Ἰωσήφ.

VI. 1. Ἀπέκλινε γὰρ τὴν ψυχὴν ἀπὸ τοῦ πνεύματος τῆς πλάνης, ἀλλ' εἶχε τὸν ἄγγελον τῆς εἰρήνης τὸν κύριον τῆς ψυχῆς. 3. καὶ οὕτως ὑμεῖς, τέκνα μου, μὴ λυπῆτε τοὺς πλησίους σου 2. μηδὲ συλλέγεσθε τὸν πλοῦτον τοῦ ἀδίκου. μὴ τέρψησθε ταῖς ἀδικίαις, καὶ μὴ ἐπάγησθε τῷ αἰνίγματι τῶν ὀφθαλμῶν [εἰς τὴν κακίαν] ἀλλ' ἀεί, τέκνα μου, (ὁ Κύριος) συλλήπτωρ ὑμῖν. [καὶ συζεύχθητε τοῖς δίκαια φρονοῦσιν καὶ φεύγετε, τέκνα μου, τὴν μάχαιραν τῆς πονηρίας, μάχαιρα γὰρ ἐγειρομένη τέμνει τὸν τράχηλον τοῦ ἀνθρώπου. καὶ πονηρία συναγειρομένη περὶ ἀνθρώπου θλίβει καὶ εἰς τὴν φάρυγγα τρέπεται εἰς ἄπληστον ᾍδην].

VII. 2. Ἡ δὲ μάχαιρα ἑπτὰ κακῶν μήτηρ ἐστί. πρῶτον συλλαμβάνει ἡ διάνοια διὰ τοῦ Βελίαρ. καὶ φυτεύει φθόνον. δεύτερον τὴν ἀπώλειαν, τρίτον θλίψιν, τέταρτον αἰχμαλωσίαν, πέμπτον ἔνδειαν, ἕκτον ταραχήν, ἕβδομον ἐρήμωσιν. 3. Διὰ τοῦτο καὶ ὁ Καῒν ἑπτὰ ἀδικίαις παρεδόθη ὑπὸ τοῦ Θεοῦ, διὰ τοῦ αἷμα τοῦ Ἀβὲλ τοῦ ἀδελφοῦ, κατὰ γὰρ ἑκατὸν ἔτη μίαν πληγὴν ἐπήγαγεν αὐτῷ ὁ Κύριος. Διακοσίων ἐτῶν ἀπὸ [τοῦ χρόνου] ὅτε Καῒν ἔκτεινε τὸν ἀδελφὸν αὐτοῦ. 5. Ἐν τοῖς ἑπτακοσίοις ἔτεσιν ὁ Καῒν ἐκρίνετο, ὁ δὲ Λαμὲχ ἐν τοῖς ἑβδομηκοντάκις ἑπτά. 6. ὅτι ἕως τοῦ αἰῶνος οἱ ὁμοιούμενοι τῷ Καῒν εἰς τὴν μισαδελφίαν τῷ αὐτῷ φόνῳ καὶ τῇ αὐτῇ κολάσει κριθήσονται.

VIII. Καὶ ὑμεῖς οὖν, τέκνα μου, ἀποδράσατε τὴν ἔχθραν καὶ κακίαν καὶ μισαδελφίαν καὶ προσκολλᾶσθε τῇ ἀγαθότητι καὶ τῇ ἀγάπῃ. 2. Καὶ μὴ ἔχητε αἰσχρὰ ἐν τῇ καρδίᾳ ὑμῶν, ὅτι ἀναπαύεται ἐπὶ τοιούτοις ὁ Θεός. 3. Ὥσπερ γὰρ ὁ ἥλιος οὐ μιαίνεται προσέχων ἐπὶ κόπρον καὶ

βόρβορον, ἀλλὰ μᾶλλον ἀμφότερα ψύχει καὶ ἀπελαύνει τὴν δυσωδίαν, οὕτω καὶ δεῖ τὸν καθαρὸν εἶναι ἐν τοῖς μιασμοῖς τῆς γῆς.

IX. Ὑπενόησα δὲ περὶ τῶν λόγων τοῦ Ἐνὼχ τοῦ δικαίου, φύλαξασθε, τέκνα μου, ἀπὸ τῆς πορνείας Σοδόμων. Εἰ δὲ ὑμεῖς διαφθείρεσθε καὶ γαμεῖτε τὰς γυναῖκας τὰς ὑβριστικὰς καὶ οὐκ ἔσται ἐν ὑμῖν ἡ βασιλεία τῶν οὐρανῶν, ὅτι εὐθὺς αὐτὸς λήψεται αὐτήν. 2. καὶ ἀποστελεῖ ὁ Ὕψιστος τὴν σωτηρίαν αὐτοῦ τῇ ἐπισκέψει τοῦ μονογενοῦς, ὥσπερ προφήτου. 3. καὶ εἰσελεύσεται εἰς τὸν πρῶτον ναὸν καὶ ἐκεῖ Κύριος ὑβρισθήσεται καὶ ἐπὶ ξύλου ὑψωθήσεται. 4. Καὶ ἔσται τὸ ἅπλωμα τοῦ ναοῦ σχιζόμενον εἰς δύο καὶ καταβήσεται τὸ πνεῦμα τοῦ Θεοῦ, ὡς πῦρ ἐκχυνόμενον. 5. καὶ ἀνελθὼν ἐκ τῶν λαῶν ἔσται ἀναβαίνων ἀπὸ γῆς εἰς οὐρανόν. Ἔγνω δὲ οἷος ἔσται ταπεινὸς ἐπὶ γῆς, καὶ οἷος ἔνδοξος ἐν οὐρανῷ.

XI. 2. Ἀναστήσεται γὰρ ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκ τοῦ γένους μου ἄνθρωπος ἀγαπητὸς Θεῷ καὶ ποιῶν τὰ ἐπιτήδεια γνῶσιν καινὴν φωτίζων πάντα τὰ ἔθνη [ὀνόματι τοῦ καλουμένου καὶ ἐγγράψεται ἐν ταῖς γραφαῖς τῶν ἁγίων. καὶ ὑμῖν, τέκνα μου, ὅσα ἐννόησα εἶπον]. XII. 1. [καὶ ἰδοὺ παραδίδομαι τῷ τάφῳ], καὶ θάπτετε ἐμὲ ἐν Χεβρὼν ἐγγὺς τῶν πατέρων μου. 2. καὶ ταῦτα εἰπὼν ἐκοιμήθη Βενιαμίν, υἱὸς Ἰακώβ, δωδέκατος υἱὸς Ῥαχήλ, καὶ πάντα τὰ ἔτη αὐτοῦ ἦν ἑκατὸν καὶ εἴκοσι. [καὶ πάντες οἱ υἱοὶ τοῦ Ἰακὼβ ἀπέθανον ἐν Αἰγύπτῳ, διδόντες διαθήκας τοῖς υἱοῖς καὶ υἱωνοῖς, ὅσας εἶχον ἐν ταῖς καρδίαις αὐτῶν καὶ προεφήτευσαν προορῶντες κινούμενοι τῷ ἁγίῳ πνεύματι. τὰ μέλλοντα ἐν τῷ καιρῷ αὐτῶν τελεῖσθαι πάντα ἐγνώρισαν καὶ ἔλεγον αὐτοῖς· Ἔχετε ἀγαθὴν ἐλπίδα ὅτι ὁ Ὕψιστος ἐπισκέψεται τοὺς πένητας, καὶ ἐν σιγῇ θλίψει τοὺς ἀμελοῦντας αὐτὸν καὶ τοὺς υἱοὺς ὑμῶν τοὺς λελειμμένους ἐν τοῖς ἔτεσι διασκορπισθήσονται εἰς ὄλεθρον καὶ εἰς τὴν ὕβριν τῶν ἐθνῶν].

APPENDIX VI

Collation of the second Sinaitic MS. *i* where it diverges from *h* for the Testaments of Reuben, Simeon, Levi, and Judah i–xx.[1]

T. Reuben.

Page 1, line 3 πρῶτον. l. 4 ὅσα. l. 5 after αὐτόν add καὶ ἐκάλεσε τοὺς υἱοὺς αὐτοῦ. For ἐν read ἐν τῷ. l. 8 συνήχθησαν. P. 2, l. 11 add τήν after ἐμίανα. P. 3, ll. 7–8 does not om. as *h*. l. 11 οἷά μοι μὴ γένηται ἐν Ἰσραὴλ οὕτως. P. 4, l. 9 γίνεται βρῶσις. l. 11 ἕκτον (so also *h* whose reading is not given in notes). l. 13 ἔσχατα. l. 14 ἀγνοίας πεπλήρωται. P. 5, l. 8 τέταρτον. μαγκανίας. l. 9 περιεργίας. l. 10 ὑπερηφανίας. om. ἵνα. l. 10 ἀπειλίαν. P. 6, l. 7 νουθεσίαν. l. 10 αὐτὴν φυλάξατε. l. 12 προσέχετε ὄψει γυναικείᾳ. P. 7, l. 3 γύμνωσιν. l. 4 om. ἕως οὗ. l. 5 ἀπιόντος. l. 7 εὐφαθά (*h* υρφαθά—so read in notes). l. 10 αἰσθανθείσης. P. 8, l. 6 ἀποθάνητε. l. 9 ὀνειδισμοὺς αὐτῶν. συνείδησίς μου. l. 10 ἐλέγχει με περί. P. 9, l. 15 προσεκάλεσεν. P. 10, l. 1 ἐδέξατο. l. 4 for πονηροῦ read πονηροῦ πράγματος. l. 5 om. γάρ. l. 6 om. οὐδὲ . . . ὑμῶν through hmt. l. 9 σεαυτάς. l. 10 ἴσχυον καταγοητεύσασθαι . . . καταγωνίζονται. P. 11, l. 3 μηχανῶνται. l. 5 τὸν ἰόν. l. 10 κοσμῶσιν τάς. l. 13 τετήρηται. P. 12, l. 1 καὶ τὴν πρᾶξιν. μετεσχηματίζοντο γάρ. l. 4 διανοίᾳ τῆς φαντασίας. l. 6 φθάνοντες. l. 8 αἰσθήσεις ὑμῶν. l. 9 συνδιάγειν (so also *h*). P. 13, l. 3 οὖν λέγω ὑμῖν. l. 10 ὅτι αὐτὸς γνώσεται. l. 12 ἀρχιερέα χριστοῦ. P. 14, l. 4 δέξητε εὐλογίαν. l. 7 παντὸς λαοῦ (so also *h*).

T. Simeon.

P. 15, l. 3 υἱοῦ Ἰακώβ. P. 16, l. 3 τῆς δεήσεως. P. 17, l. 4 Ῥουβὶμ εἰς Δοδαήμ. P. 18, l. 3 ἀποστῶ (so also *h*). l. 10 πάσας τὰς διανοίας (so also *h*). P. 19, l. 6 αὐτῷ, οὗτος. P. 20, l. 11 τέκνα μου. P. 21, l. 1 ὡς (so also *h*). ll. 7–8 τῷ σώματι, ἢ καὶ ἐν (so also *h*). l. 11 ἐκήνισεν

[1] This MS. *i* was not discovered till the spring of 1906, when the above section of my Text had already passed through the press. Since the two Sinaitic MSS. *h* and *i* are derived from one archetype, I have given the readings of *i* only where it diverges from *h*, except in some cases where *h* is omitted in my Notes or was wrongly copied or read. In these cases *i* and *h* alike are given.

(sic). Copy of *h* very corrupt but probably *h* = *i*. Since *c*, *d* read ἐνίκησεν it is probable that α read οὐκ ἐνίκησεν εἰς αὐτόν = לא יכל לו. P. 22, l. 7 οὖν ἀπό (so *h* should be read). l. 14 πόλεμον κυρίου πολεμήσει. l. 17 τις εἰς ἡγεμονίαν. P. 23, l. 1 ταῦτα (*h* τοῦτο). δικαιῶ (*h* reads διάγω ?). l. 4 ὀστᾶ μου. l. 7 πληθυνθήσονται. l. 13 Χετταῖοι καί (so *h*). l. 14 τότε ἐκλείψει. l. 17 πολέμων. P. 25, l. 5 ἐγώ (so *h*). l. 13 χάριν ὁ κύριος. P. 26, l. 4 οὕτως. καί (so *h*). l. 7 ἐτῶν ὢν ρκ̅.

T. Levi.

P. 27, l. 11 ἕως ἡμέρας κρίσεως. P. 28, l. 7 Βαλμαούλ (so *h*). l. 9 ἐπὶ ταύτας τοίχους. P. 31, ver. 11, l. 3 γένος ἀνθρώπου (so *h*). P. 32, ll. 8–9 διατί ἐστι δυνός. ἐπειδή (sic—so *h* but reads δεινὸς ἐπεί). P. 33, ll. 1–2 ἐν δικαιοκρισίᾳ. l. 17 καὶ ἐν. l. 19 καταλύει ἡ. P. 34, l. 10 λογικόν. P. 35, chap. iv, l. 3 οὐρανῶν (so also *h*). P. 36, l. 9 καὶ ἐπί. P. 37, l. 6 ἅγιον καὶ ὕψιστον. l. 8 κατοικῆσαι (so also *h*). P. 39 margin, second line from bottom, καὶ τὸ ὄνομα (so also *h*). P. 40, l. 13 Ἡεμβλακὴν τὸν οἰγενήν (sic). P. 41, l. 9 χλευάσει . . . αὐτούς. P. 42, l. 9 πέταλον τῆς ἀληθείας καὶ τῆς πίστεως. l. 12 μοι καὶ εἰπόν μοι. P. 43, l. 2 ὁ μὲν πρῶτος (so also *h*). l. 4 ἐψώμοισεν (sic) ἄρτον (so also *h*). ἅγιον ἁγίων. l. 6 ὁμοίαν. P. 44, l. 6 τῷ κυρίῳ καὶ θεῷ. P. 45, l. 10 κριταὶ γραμματεῖς (so also *h*). P. 46, l. 1 ἔκρυψα κἀγὼ τοῦτο (so also *h*, omitting καί before ἔκρυψα). l. 10 τὸ πρωί. P. 48, l. 2 καὶ πετεινοῦ πρόσφερε θυσίαν αὐτοῦ. l. 4 καὶ θεῷ ἡμῶν. l. 6 καὶ νῦν (so also *h*). l. 7 τέκνα μου (so also *h*). l. 13 βαστάσαι. P. 49, l. 5 ὃν ἐκλέξεται (so *h*). l. 9 ἐκάλεσε. P. 50, l. 6 for ἔτεκέν μοι reads ἐκάλεσα Μεραρί (next nine (?) letters lost in photo) Μεραρὶ τῷ τεσσαρακοστῷ. P. 51, l. 1 ἡ μήτηρ μου καὶ ἡ μήτηρ αὐτοῦ. l. 2 πικρασμός (sic). P. 52, l. 12 ἡμῶν. P. 53, l. 6 διότι. l. 11 ὑγιασμένοι ἦτε. P. 54, l. 12 πᾶς γὰρ ὅς. P. 56, l. 7 ποιήσειν. l. 11 ἡμῶν. l. 13 τοῦ κόσμου. l. 21 λῃστεύσητε. P. 57, l. 3 τοῦ θεοῦ. l. 9 τὰ ἀγαθά. P. 58, l. 1 βδελύσσεται. l. 3 διακρίσεως (so also *h*). l. 7 καταλειφθῇ. P. 59, l. 1 καὶ ἀληθινῶν (so also *h*). l. 4 ὁρμήσητε ἀποκτεῖναι (so also *h*). P. 60, l. 7 αὐτῶν πλήρης. ll. 9–10 ἰωβηλαίῳ ἐν πένθει ἀγαπητοὶ ληφθήσεται (so also *h*). l. 14 ἀδικία ἑαυτῷ. P. 61, l. 3 μιασμὸς ὃν οὐ δύναμαι. l. 9 αὐτῶν καί. l. 15 περὶ τοῦ Χριστοῦ καὶ τότε (so also *h*). l. 19 ἐν ἀνῳ (i.e. ἀνθρώπῳ). P. 62, ll. 7–8 νεφέλαι ἐπὶ τῆς γῆς ὡς ὕδωρ θαλασσῶν. P. 63, ll. 9–10 ἐν γνώσει ἐπὶ τῆς γῆς καὶ φωτισθήσονται. l. 13 ἐπὶ τῆς γῆς ἱερωσύνῃ. P. 65, ll. 1–2 καὶ οὗτος ἔτεινε τοὺς πόδας (so also *h*).

T. Judah.

P. 66, l. 4 ὑπήκουον. P. 68, l. 2 αὐτήν . . . αὐτήν (so *h* also in second

case). l. 5 συσσάσης (sic). l. 7 ἦλθον δύο (so also *h*). P. 69, l. 5 Ναχώρ (so also *h*). P. 70, last line, λίθοις. P. 75, ll. 10–11 πόλεως βασιλεύς. P. 76, l. 6 νυκτὶ δὲ βαθείᾳ (so also *h*). ver. 5 τότε οὖν ἐγώ (so also *h*). P. 77, l. 5 οὐδὲν πονηρόν (*h* οὐδὲν πονηρὸν κακόν). l. 7 om. ver. 9. ver. 11 φοβούμενοι ἐμοὶ καὶ τοὺς ἀδ. (*h* φοβ. ἐμοὶ καὶ τοῖς ἀδ.). Chap. VIII, 1 Ὀδουλομακήτην (*h* Ὀδολομακίτην). P. 78, l. 4 om. καὶ τοὺς . . . Σηλώμ by hmt. P. 79, l. 5 προσάγων (so also *h*). P. 80, l. 5 om. πυροῦ. P. 82, l. 13 βουλομένου (so also *h*). P. 85, last line of note 44 read αὐτόν for τὸ ὄνομα αὐτοῦ (so also *h*). P. 86, l. 13 ἐπιθυμιῶν ὑμῶν μηδὲ ἐν ἐπενθυμήσεσι τῶν διανοιῶν ὑμῶν ἐν ὑπερηφανείᾳ. P. 87, l. 1 ἐκαυχησάμην. l. 5 Ἀκνὰν (so also *h*) τὴν Χαναΐτην. P. 88, l. 9 ὅτι ὁ οἶνος. P. 89, l. 2 πίνης. l. 4 τὴν ἡδονὴν (so also *h*). P. 90, l. 1 ἕως ὅτι. l. 2 ἐκβάλλει (so also *h*). l. 7 καὶ γάρ (so also *h*). P. 91, l. 3 τοῦ ἀνδρός (so also *h*). l. 8 πίνετε. l. 9 φόβου θεοῦ. l. 12 τὸν οἶνον (so also *h*). P. 92, l. 13 βασιλείαν. P. 93, l. 4 προπάπος (sic). l. 5 Ἰακὼβ οὔτι. P. 94, l. 8 εὐλογίαν αὐτοῦ (so also *h*). l. 9 προφήτῃ λαλοῦντι. P. 96, l. 1 ἐστὶ τὸ τῆς συνειδήσεως. l. 6 κατὰ στήθη. Here *i* is obviously right and *ch* corrupt.

INDEX

[For the sake of brevity the Testaments are referred to in the following Index by their initial letters except in the case of the Testaments of Judah, Issachar, and Joseph which are denoted by Jud, Iss, Jos.]

CH. PA.

Oxford: Printed at the Clarendon Press by Horace Hart, M.A.